ἢ τὸν σώζοντα καὶ λυτρούμενον. ὁ δὲ ἐδυσχέραινε μὲν
or the(-one) saving and ransoming he and was-vexed indeed
κἀπὶ τούτοις, ἐπαθαίνετο δὲ μειζόνως ὅτι μὴ ἐῷτο
also-at these(-things) suffered and more because not he-was-allowed
ὑπνώττειν ὑπὸ τῶν φυλάκων ἀεὶ ἐπιπιπτόντων αὐτῷ πρὸς
to-sleep by the guards always falling-on him to
ὕπνον τρεπομένῳ καὶ βιαζόντων ἱστᾶν τοὺς ὀφθαλμοὺς
sleep turning and forcing to-keep-upright the eyes
ὥσπερ κέρας ἢ σίδηρον. ὁ δὲ πατριάρχης μὴ μνησικακῶν
as horn or iron the and patriarch not bearing-grudges
ἀλλ᾽ οἰκτείρων τῆς μεταβολῆς τὸν ἄνθρωπον θεραπείας
but pitying for-the change the man of-care
τε ἱκανῆς μετεδίδου καὶ συγγινόμενος τὸ ἄχος ἐκούφιζε,
both sufficient gave-a-share and being-with(-him) the grief lightened
καὶ μετρίως ἐκείνῳ προσφέρεσθαι παρῄνει τοῖς φύλαξι
and moderately him to-treat exhorted the guards
μηδὲ γίνεσθαι βαρυτέρους τύχης τῆς ἐνεστώσης. οὐ μὴν
nor to-become heavier than-fortune the present not indeed

ἀλλ᾽ ἡμερῶν τινῶν διαλιπουσῶν ἑῷος ἀπάγεται τοῦ
but days some having-intervened at-dawn he-is-led-away from-the
νεὼ ἵππῳ βραχυτάτῳ ἐπικαθήμενος καὶ προοδεύουσαν
temple on-(a)-horse very-small seated and going-before
ἔχων σημαίαν ἐπὶ καλάμῳ ἠνεμωμένην, καὶ παροινούμενος
having (a)-banner on (a)-reed fluttering and being-insulted
οὕτω κατῄει πρὸς θάλασσαν. κἀκεῖθεν παραρριφεὶς
thus he-went-down to (the)-sea and-from-there thrown
ἁλιάδι ἐς τὸ πέραν ἀνάγεται πρὸς Ἀνδρόνικον,
into-(a)-fishing-boat to the opposite(-shore) is-brought-across to Andronikos
ἔπειτα καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεται, κοινῶς
then and the eyes is-gouged-out by-common(-vote)
ἁπάντων τῶν ἐν ὑπεροχῇ συνελθόντων καὶ μετ᾽
of-all the(-ones) in eminence having-come-together and with
Ἀνδρονίκου τὴν τοιαύτην πρᾶξιν κυρωσαμένων. καὶ τοιοῦτο
Andronikos the such deed having-ratified and such
μὲν τὰ τῆς τοῦ πρωτοσεβαστοῦ παραδυναστείας ἢ
indeed the(-things) of-the of-the protosebastos irregular-power or
μᾶλλον οὔπω παγείσης ἀκριβῶς τυραννίδος καὶ τῆς τῶν
rather not-yet firmly-fixed exactly tyranny and of-the of-the
κοινῶν πραγμάτων διοικήσεως πέρας εἰλήφεσαν. εἶχε μὲν
common affairs administration (an)-end had-taken he-had indeed
οὖν τὰς χεῖρας εἰς παράταξιν ἱκανὰς καὶ τοὺς δακτύλους
then the hands for battle-array sufficient and the fingers
πρὸς πόλεμον ἐδεδίδακτο, ἴσως δ᾽ ἂν καὶ πλείονι πολέμου
for war had-been-taught perhaps and — also with-greater of-war
παρασκευῇ καὶ ὁρμῇ ὀξυτέρᾳ χρησάμενος τῷ τε
preparation and with-(an)-impulse sharper having-used — both
Ἀνδρονίκῳ τὴν εἰς τὴν πόλιν πάροδον ἀπετείχισε καὶ
to-Andronikos the into the city passage he-would-have-walled-off and
ἑαυτὸν ἀπείρατον διεφύλαξε τοῦ ἐφεστῶτος κακοῦ·
himself untried he-would-have-kept from-the present evil

ποιεῖν γὰρ ἐπὶ τοῖς βασιλείοις ἠδύνατο θησαυροῖς ὁπόσα
to-do for on the imperial he-was-able treasures as-many-as
ἠβούλετο, καὶ ταῖς τριήρεσιν ἐνῆν χρήσασθαι πρὸς τὴν
he-wished and the triremes it-was-possible to-use for the
τοῦ ἀνθισταμένου καταπολέμησιν αἳ τὸ ἐκ Λατίνων εἶχον
of-the opponent warring-down which the from Latins had
ὁπλιτικόν, οὕτω μὲν ἐπικρατέστερον ὂν τοῦ Ῥωμαϊκοῦ
hoplite(-force) so indeed stronger being than-the Roman
παντάπασι ναυτικοῦ, οὕτω δὲ πάγχαλκον καὶ ὅλον
altogether navy so and all-bronze and wholly
αἱμοχαρές. ἀλλὰ τοῦ μορσίμου, ὡς ἔοικεν, ἀντικρούσαντος
blood-rejoicing but the fated as it-seems having-struck-against
ὁ μὲν τὸ πρόθυμον ὑπεχάλασεν, Ἀνδρόνικος δ' ἐπιτείνας
he indeed the eagerness slackened Andronikos and having-intensified
ὑπεσκέλισε τουτονὶ καὶ ὑπέδραμεν ἀντιτρέχοντα, καὶ τὴν
tripped this(-man) and ran-under(-him) running-against(-him) and the
νίκην λαμπρὰν ἀπηνέγκατο. ὃς καὶ κατὰ τὴν περαίαν ἔτι
victory brilliant carried-off who also on the opposite-shore still
διατρίβων, στείλας τριήρεις ὅσαι ὀπίσω τοῦ μεγάλου
spending-time having-sent triremes as-many-as behind the grand
δουκὸς ἠκολούθησαν κἀκ τῶν συνακολουθησάντων αὐτῷ
duke had-followed and-from the(-ones) having-followed-with him
κατὰ πάροδον στρατιωτικῶν καταλόγων ἅπαν ἐπίλεκτον,
on (the)-way military rolls every picked(-man)
πόλεμον συγκροτεῖ κατὰ τῶν ἐν τῇ πόλει Λατίνων.
war assembles against the(-ones) in the city Latins
καὶ δὴ καὶ τοῦ δήμου τῆς πόλεως ἀναθαρρήσαντος
and indeed also the people of-the city having-taken-courage
κατ' αὐτῶν καὶ ἀλλήλους ἐς συνασπισμὸν παραθήξαντος
against them and one-another into close-array having-whetted
θαλάττιος ὁμοῦ καὶ ἐπίγειος ἔρις φύεται. καὶ πρὸς ἄμφω τὰ
of-the-sea at-once and on-land strife springs-up and against both the

πλήθη κυκλωσάμενά τε καὶ περιζώσαντα μὴ ἀντιπαλαίειν
multitudes having-encircled(-them) both and girded-round not to-wrestle-back
σθένοντες οἱ Λατῖνοι, ὡς εἶχον, ἕκαστος σώζειν ἑαυτοὺς
being-strong the Latins as they-were(-able) each to-save themselves
ἐπεβάλοντο, τὰς οἰκίας ἀνέντες πλήρεις πλούτου παντὸς
undertook the houses having-let-go full of-wealth all
καὶ πολυειδῶν ἀγαθῶν, ὁπόσα μεταδιώκουσιν ἄνθρωποι,
and of-many-formed goods as-many-as pursue men
τοῖς βουλομένοις προνόμευμα· οὐδὲ γὰρ μένειν κατὰ
to-the(-ones) wishing (as)-booty not for to-remain in
χώραν ἐτόλμησαν, ἢ κατὰ Ῥωμαίων ἐπήλθοσαν αὐτοί,
place they-dared or against (the)-Romans came themselves
ἢ ὅλως ἐπιόντας ὑπέστησαν. ἐντεῦθεν οἱ μὲν κατὰ
or at-all (the)-attackers withstood thence some indeed in
πόλιν διασπαρέντες ὡς ἔτυχεν, ἄλλοι προσρυέντες οἴκοις
(the)-city having-been-scattered as it-happened others fled-for-refuge to-houses
ὑπερηφάνοις, οἱ δὲ καὶ τῶν μακρῶν ἐπιβάντες νηῶν
proud others and also the long having-boarded ships
ἃς ἐπλήρουν οἱ ὁμόφυλοί σφισιν, ἐξέφυγον μόλις τὸ
which manned the kinsmen to-them escaped barely the
μαχαίρᾳ περιπεσεῖν. ὁπόσοι δὲ συνελήφθησαν, θανάτῳ
by-sword to-fall as-many-as and were-seized to-death
ὑπεδικάσθησαν. πάντες μέντοι τὰς οὐσίας ἀπεβάλοντο.
were-condemned all however the properties lost
αἱ δὲ πλήρεις τῶν δραπετευσάντων τριήρεις τῶν
the and full of-the(-ones) having-fled triremes from-the
τῆς πόλεως ἀναχθεῖσαι λιμένων καὶ βλέψασαι πρὸς
of-the city having-put-out harbors and having-looked to
Ἑλλήσποντον τὸ μὲν λεῖπον τῆς ἡμέρας ἐκείνης ταῖς
(the)-Hellespont the indeed remainder of-the day that at-the
νήσοις προσωρμηκυῖαι ἐξεπέραναν, ὁπόσαι μικρὸν ἄποθεν
islands having-anchored completed as-many-as (a)-little apart

τῆς βασιλίδος ἀμφιρρέονται πόλεως μὴ πάνυ πελάγιαι,
from-the imperial are-flowed-around city not very in-the-open-sea
φημὶ δὴ τὴν Πρίγκιπον καὶ τὴν Πρώτην καὶ ὅσαι
I-mean indeed — Prinkipos and — Prote and as-many-as
περὶ αὐτὰς ἀνίσχουσι τοῦ βυθοῦ· τὴν δ' ἐπιοῦσάν τινα
about them rise from-the deep on-the and next(-day) some
τῶν ἐν αὐταῖς ἱερῶν φροντιστηρίων πυρπολήσασαι ἐξῆραν
of-the in them holy monasteries having-burned set-out
ἐκεῖθεν κώπαις ἁπάσαις καὶ διαπετασθεῖσι λαίφεσι. μηδενὸς
thence with-oars all and spread sails nobody
δ' ἐπιδιώκοντος, ἔνθα ἦν πρὸς βουλῆς καταίρουσαι,
and pursuing where it-was to (their)-will putting-in
ἔδρων ὅ τι καὶ εἶχον κακὸν τοὺς ἐκεῖσε Ῥωμαίους.
they-did what — also they-had(-power) evil to-the there Romans

XII · THE PATRIARCH MEETS ANDRONIKOS

A comet shaped like a serpent appears, and a white hawk flies into the great church and to the palace three times before it is caught; the comet is read as marking Andronikos and the evils to come, the hawk as a sign that he will be taken in the end. The patriarch Theodosios crosses to him. Andronikos, in a split violet robe and a pyramid-shaped cap, throws himself before the patriarch's horse and kisses his feet, but Theodosios sees through him. When Andronikos complains that the patriarch has ceased to care for the boy emperor, Theodosios answers with a hint of the boy's death, then turns it aside: his age and the canons keep him from the world, and Andronikos is enough to rear the emperor.

Κατ' ἐκείνας δὲ τὰς ἡμέρας καὶ κομήτης ἐφάνη κατ'
in those and the days also (a)-comet appeared in
οὐρανόν, ὑποσημαίνων τὰ ἐσόμενα χείριστα καὶ αὐτὸν
heaven signifying the going-to-be worst(-things) and him
ἀτεχνῶς διαχαράττων Ἀνδρόνικον· ὄφεως γὰρ σχῆμα
simply marking Andronikos of-(a)-serpent for shape

καὶ ἕλιγμα ἡ τοῦ φανέντος ἀνάμματος ὄψις διατυποῦσα
and coil the of-the appeared kindling sight outlining
νῦν μὲν διετέτατο, μετὰ βραχὺ δ' ἀμφιπεριειλίσσετο εἰς
now indeed was-stretched after (a)-little and was-coiled-around into
ὁλκούς, ἄλλοτε εἰς χάσμα ἀνοιγομένη στόματος φόβον
trails at-other-times into (a)-gap opening of-(a)-mouth fear
ἐνεποίει τοῖς θεωμένοις οἱονεὶ καταχάσκουσα ἐξ ὕψους
produced in-the(-ones) seeing as-it-were gaping from height
τῶν κάτωθεν καὶ ἀνδρομέου γλιχομένη αἵματος. ἡμέρας
at-the(-ones) below and human longing-for blood of-day
οὖν ἐκείνης τὸ μήπω ἐκμετρηθὲν καὶ τὴν ἐπιοῦσαν νύκτα
then that the not-yet measured-out and the coming night
διαρκέσας ἠφάντωται. ἀλλὰ καὶ ἱέραξ τοῦ θηρεύειν ἐθάς,
having-lasted vanished but also (a)-hawk to-the hunting accustomed
λευκὸς τὴν πτίλωσιν, τοὺς πόδας λωροπεδούμενος, κἀπὶ
white in-the plumage the feet thong-fettered and-on
καλιᾶς πτερορρυήσας πολλάκις καὶ αὖ πάλιν ἀνηβηκώς,
(a)-nest having-molted often and in-turn again having-grown-young
ὥρμησεν ἐκ τῆς ἕω πρὸς τὸ τοῦ λόγου μέγιστον τέμενος,
rushed from the east to the of-the Word greatest precinct
καὶ τὸν Θωμαΐτην εἰσιὼν δόμον πολλοὺς κατὰ φήμην
and the Thomaïtes entering house many by report
θεατὰς ἐφειλκύσατο. ἦσαν δ' οἳ καὶ διετεχνῶντο
spectators drew were and (those)-who also contrived
συλλαβεῖν αὐτόν. ὁ δ' ἐκεῖθεν ἀρθεὶς κατέπτη πρὸς τὸ
to-catch it it and thence having-risen flew-down to the
μέγα βασίλειον, καὶ ἄνω τοῦ οἰκήματος καταπαύσας ἐν
great palace and above the chamber having-rested in
ᾧ τοὺς ὑπογυίως τοῦ ἄρχειν ἐπειλημμένους εἴθισται
which the(-ones) recently of-the ruling having-taken-hold it-is-customary
πρὸς τοῦ δήμου παντὸς ἀνευφημεῖσθαι στεφανηφόρους,
by the people all to-be-acclaimed crown-bearing

μετ᾽ οὐ πολὺ ἐπάνεισι πάλιν πρὸς τὸν νεών. καὶ τὴν
after not much returns again to the temple and the
τοιαύτην περιοδείαν τρισσῶς σταδιεύσας ὕστερον παρά
such circuit three-times having-run later by
του θηρεύεται καὶ εἰσάγεται τῷ βασιλεῖ. τοῖς μὲν
someone is-caught and is-brought-in to-the emperor by-the indeed
οὖν πλείστοις μέλλειν αὐτίκα Ἀνδρόνικον συλληφθῆναι
then very-many to-be-about at-once Andronikos to-be-seized
οἰωνίζετο ἐνθένδε καὶ δίκας γενναίας ὑφέξειν, ἐπεὶ καὶ ἐς
it-was-augured thence and penalties noble to-undergo since also to
αὐτὸν ἔφασκον ἀτεχνῶς τὸ οἰώνισμα ἀφορᾶν, πλειστάκις
him they-said simply the omen to-look often
ἐνειρχθέντα δεσμωτηρίῳ καὶ τὸ τῆς κεφαλῆς τρίχωμα
having-been-shut-up in-prison and the of-the head hair
χιονούμενον. οἱ δέ γε σοφώτερόν τι προβλέποντες
snowing the(-ones) and at-least wiser something foreseeing
καὶ τὸ φρονεῖν ὑψιβάμονες τριετὲς ἕλιγμα χρονικὸν
and in-the thinking high-stepping (a)-three-year coil of-time
τὴν τρίτην εἰς τὸ αὐτὸ κατάντημα πτῆσιν ἰσχυρίζοντο
the third to the same lodging flight insisted
προσημαίνειν, καὶ τελευταῖον αὖθις Ἀνδρόνικον φρουρὰν
to-foreshow and at-the-last again Andronikos prison
καὶ ποδοκάκας καθυποδέχεσθαι Ῥωμαίων κατάρξαντα.
and stocks to-receive of-(the)-Romans having-ruled
Πάντων δ᾽ ἐς Ἀνδρόνικον διαπορθμευομένων, λοῖσθος
all and to Andronikos crossing last
ἐς αὐτὸν περαιοῦται ὁ πατριάρχης Θεοδόσιος μετὰ τῶν
to him crosses the patriarch Theodosios with the
λογίμων τοῦ βήματος. ὁ μὲν οὖν εἰς τὴν ἑαυτοῦ ἐγγίζειν
learned of-the sanctuary he indeed then to the his-own to-be-drawing-near
σκηνὴν τὸν μέγαν ἀρχιερέα ἐνωτισάμενος ἔξεισιν εὐθὺς πρὸς
tent the great high-priest having-heard goes-out at-once to

ὑπάντησιν, στολὴν ἠμφιεσμένος σχιστὴν ἰοβάφινον ὑφῆς
meeting (a)-robe wearing split violet-dyed of-weaving
τῆς Ἰβηρικῆς, εἰς γόνατα καὶ γλουτοὺς καταβαίνουσαν καὶ
the Iberian to knees and buttocks coming-down and
πυκάζουσαν τὰ ἕως βραχίονος, καὶ πυραμιδουμένην
covering the(-arms) to (the)-upper-arm and pyramid-shaped
καλύπτραν τῇ κεφαλῇ περικείμενος, καπνηρὰν τὴν χροιάν·
(a)-cap on-the head wearing smoky in-the color
καὶ πρὸς τῶν ἱππείων χηλῶν βαλὼν ἑαυτὸν ἔκειτο
and before the horse's hooves having-thrown himself lay
τετανυσμένος μέγας μεγαλωστί. μετὰ μικρὸν δ' ἀνίσταται,
stretched great greatly after (a)-little and he-rises
καὶ τῶν τοῦ πατριάρχου ποδῶν περιλιχμᾶται τὰ πέλματα,
and the of-the patriarch feet licks-round the soles
σωτῆρα τοῦ βασιλέως ἀποκαλῶν, ζηλωτὴν τοῦ καλοῦ, τῆς
savior of-the emperor calling(-him) zealot of-the good of-the
ἀληθείας ὑπέρμαχον, τῷ χρυσῷ τὴν γλῶτταν Ἰωάννῃ
truth champion with-the golden in-the tongue John
ἀνθάμιλλον, καὶ πᾶσαν αὐτῷ προσηγορίαν περιτιθεὶς
vying and every on-him title putting
ἀγαθήν. ὁ δὲ τότε πρώτως Ἀνδρόνικον θεασάμενος, ἐπεὶ
good he and then first Andronikos having-seen when
κατηθρήκει περιεργότερον βλέμμα γοργόν, ὑποκαθειμένον
he-had-observed more-curiously (a)-look fierce (a)-spirit
φρόνημα, σοφιστικὸν καὶ περίεργον ἦθος, ἡλικίας ἀναδρομὴν
subtle sophistical and curious character of-stature (a)-height
ἐς πόδα δέκατον μικροῦ ἀνατείνουσαν, ἀγέρωχον βάδισμα,
to foot tenth by-little reaching arrogant gait
ὀφρὺν ἐπιλλώπτουσαν ὑπεροψίαν, φροντιστικόν τε καὶ ἐπὶ
(a)-brow leering-with contempt anxious both and in
συννοίας ἀεὶ ἄνθρωπον, ταλανίσας τοὺς ἀφρόνως ἄνδρα
thought always (a)-man having-pitied the(-ones) senselessly (a)-man

τοιοῦτον εἰσοικισαμένους ἐπ᾽ ἀνηκέστοις ἑαυτῶν συμφοραῖς,
such having-brought-in for incurable their-own disasters
„ἀκοῇ μέν" φησιν „ἤκουόν σου τὸ πρότερον, νῦν δὲ καὶ
by-hearing indeed he-says I-heard of-you the before now and also
ἑωράκειν καὶ ἐγνώκειν σαφῶς." καὶ αὖ πάλιν τὸ
I-had-seen and I-had-known clearly and in-turn again the(-word)
τοῦ Δαβὶδ ἀποκναίσας εἶπε „καθάπερ ἠκούσαμεν, οὕτως
— of-David having-twisted he-said as we-heard thus
καὶ εἴδομεν," αἰμύλως καθαπτόμενος Ἀνδρονίκου οἷς
also we-saw wilily attacking Andronikos by-which
τὰ τῆς ὑπαντήσεως ἐκείνῳ τῷ σκηνικῷ ὑπεξῆρε τῆς
the(-things) of-the meeting that the theatrical drew-out from-the
γνώμης, ἑαυτὸν ἐδαφίζων καὶ κυνηδὸν προσκυζόμενος,
mind himself flattening and dog-like fawning
ἀναφέρων ἅμα τὰ ὀφθέντα πρὸς ἅπερ αὐτῷ
referring at-once the(-things) seen to what-things to-him
ἀπήγγειλεν ὁ βασιλεὺς Μανουήλ, διαζωγραφῶν τῷ λόγῳ
had-reported the emperor Manuel painting with-the word
Ἀνδρόνικον καὶ οἷον ἀγνοοῦντι τιθεὶς ὑπόψιον. ἀλλ᾽
Andronikos and as-it-were to-(one)-ignorant making suspect but
οὐκ ἔλαθε τὸ τῶν ῥημάτων ἀμφοτερίζον τὸν πολύμητιν
not escaped the of-the words ambiguity the much-scheming
Ἀνδρόνικον· ὅθεν καὶ τῇ τῶν λεχθέντων διπλόῃ
Andronikos whence also by-the of-the(-things) said doubleness
ὡς οἷα διπάλτῳ ξίφει τρωθεὶς τὴν ψυχήν, καὶ
as as-it-were with-(a)-two-edged sword wounded in-the soul and
τὴν σκυζομένην οἷον καὶ συνηρεφῆ τῶν ὀφρύων τοῦ
the frowning as-it-were and shadowy of-the brows of-the
πατριάρχου γραμμὴν τῶν ἔνδον καὶ περὶ ψυχὴν κινημάτων
patriarch line of-the inner and about (the)-soul movements
εὑρὼν προμνήστριαν, „ἴδε" φησὶ „βαθὺς Ἀρμένιος," ἐπεὶ
having-found (as)-go-between look he-says (a)-deep Armenian since

καὶ τὸ πατρῷον γένος ἐξ Ἀρμενίων ἕλκειν ἐλέγετο. τοῦτο
also the paternal race from Armenians to-draw he-was-said this
δὲ καὶ ἄλλοτέ ποτε ἐπέσκωψεν ἐς αὐτὸν Ἀνδρόνικος,
and also at-another-time once jeered at him Andronikos
ὅτε ὁ μὲν πρὸς τὸν πατριάρχην τὸν λόγον ποιούμενος
when he indeed to the patriarch the word making
ἀχθομένῳ ἐῴκει καὶ μόνος ὑπολελεῖφθαι τοῦ βασιλέως
to-(one)-vexed seemed and alone to-have-been-left of-the emperor
Ἀλεξίου κηδεμὼν ἔλεγε, μηδένα ἔχων τὸν συμπονοῦντά
Alexios guardian said nobody having the(-one) toiling-with(-him)
τε καὶ συγκάμνοντα, μηδ' αὐτὴν τὴν ἐκείνου ἁγιότητα,
both and laboring-with not-even itself the his holiness
καίπερ τοῦ βασιλέως Μανουὴλ καὶ πατρὸς τῷ βασιλεῖ
although the emperor Manuel and father to-the emperor
Ἀλεξίῳ ἐς αὐτὸν ἀναθεμένου τὸν πατριάρχην τὴν τοῦ
Alexios to him having-entrusted the patriarch the of-the
υἱοῦ τημελούχησιν καὶ τὴν τοῦ κράτους αὐτῷ κυβέρνησιν
son care and the of-the power for-him steering
ὑπὲρ τοὺς τούτῳ κατὰ γένος προσήκοντας· ὁ δ'
beyond the(-ones) to-him by family related he and
ἔφησεν ἀποφροντίσαι πάλαι τὸν βασιλέα, εἴτ' οὖν τοῖς
said to-have-ceased-to-care long-ago the emperor or then among-the
τεθνεῶσιν ἔχειν ἐνάριθμον, ἐξ ὅτου περ αὐτὸς Ἀνδρόνικος
dead to-hold (as)-numbered from when — himself Andronikos
τὴν βασιλίδα πόλιν εἰσεληλύθει καὶ τὰ κοινὰ διαχειρίζει
the imperial city had-entered and the common handles
πράγματα. πρὸς ἣν ἀπόκρισιν τοῦ πατριάρχου ἐρυθριάσας
affairs at which answer of-the patriarch having-blushed
Ἀνδρόνικος ἤρετο τί ἐστι τὸ ἀποφροντίσαι καὶ πρὸς ὃ
Andronikos asked what is the to-have-ceased-to-care and at what
σημαινόμενον ἐκτετόξευται, τὸν μὴ συνιέντα πλαττόμενος,
meaning it-has-been-shot the not understanding feigning

καίτοι ἐγνωκὼς ἀληθῶς ὡς τὸν τοῦ παιδὸς καὶ βασιλέως
although having-known truly that the of-the child and emperor
θάνατον ᾐνίξατο δι᾽ ὧν ὁ θεῖος οὗτος ἀνὴρ ἐφθέγξατο.
death he-hinted through what the divine this man uttered
ὁ δὲ τὸν θῆρα μὴ ἐκμαίνειν ἐθέλων καὶ ἄλλως κατ᾽ αὐτοῦ
he and the beast not to-madden wishing and otherwise against him
ὠρυόμενον, ἢ τὴν κάμηλον ἀναστομοῦν εἰς ἐξέραμα πρὸς
roaring or the camel to-open-the-mouth to vomiting toward
ὅπερ εἴθιστο, οὐ κατὰ τὴν ἀληθῆ καὶ πρὸς ἣν ἐρρέθη
which it-was-wont not according-to the true and for which it-was-said
ἐξήγησιν τὸν τοῦ ῥήματος νοῦν ἡρμήνευσεν, ἀλλὰ μηκέτι
interpretation the of-the word sense interpreted but no-longer
ἔφησε φροντίζειν τοῦ βασιλέως καὶ τὸ τούτου πάλαι
he-said to-care for-the emperor and the his long-ago
παριδεῖν τημελὲς καὶ διὰ τὸ τοὺς κανόνας μὲν καὶ τὸ
to-overlook care and because-of the the canons indeed and the
γῆρας μὴ ἐγχωρεῖν αὐτῷ τοῖς κατὰ κόσμον συμπλέκεσθαι
old-age not to-permit him in-the in (the)-world to-be-entangled
πράγμασι, τὸ δὲ πλέον αὐτὸν τὸν Ἀνδρόνικον αὐτάρκη
affairs the and more himself — Andronikos sufficient
καὶ μονώτατον εἶναι τὸν βασιλέα παιδοκομεῖν.
and alone to-be the emperor to-rear

XIII · ANDRONIKOS ENTERS THE CITY

Andronikos crosses from Damalis singing the Psalm "Return, my soul, to your rest." The emperor Alexios and his mother Xene move to the Philopation, and Andronikos falls weeping at the boy's feet but shows his hatred of the empress. A squint-eyed beggar loitering by his tent at night is accused of sorcery, and the people burn him in the theater to please Andronikos. At the Pantokrator he asks to be left alone at Manuel's tomb and murmurs over it; the wits say he gloated over the persecutor who now lies still and swore to pursue his race.

Τῶν μέντοι κατὰ τὰ ἀρχεῖα πραγμάτων οὑτωσὶ
of-the however in the palace affairs thus
διῳκημένων ὡς Ἀνδρόνικος ὑπέθετο τοῖς υἱεῦσιν αὐτοῦ
having-been-arranged as Andronikos suggested to-the sons his
καὶ τοῖς φίλοις καὶ οἱ τῶν καθ' αἷμα ᾠκειωμένων τῷ
and to-the friends and the(-ones) of-the by blood related to-the
βασιλεῖ ἀνεύθυνον ἐκ βασιλέως καὶ τὸ ὅλον ἀνέγκλητον
emperor unaccountable from (the)-emperor and the whole blameless
εἶχον τὸ προσιέναι Ἀνδρονίκῳ καὶ τοῖς ἐκείνου προσανέχειν
had the to-approach Andronikos and to-the his to-attend
βουλεύμασιν, ὀψέ ποτε καὶ αὐτὸς Ἀνδρόνικος ὑποχωρεῖ τῆς
plans late at-last also himself Andronikos withdraws —
Δαμάλεως εἰσιὼν τριήρη καὶ ὑποψήλας τὸ τοῦ Δαβὶδ
from-Damalis entering (a)-trireme and having-sung-softly the(-word) — of-David
ἐν τῷ τὸν πορθμὸν διαβαίνειν τῆς βασιλίδος τῶν πόλεων
in the the strait crossing of-the queen of-the cities
καὶ ὑποφθεγξάμενος μετὰ διαχύσεως „ἐπίστρεψον, ψυχή μου,
and having-uttered with cheerfulness return O-soul my
εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος εὐηργέτησέ σε, ὅτι
to the rest your because (the)-Lord has-benefited you because
ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου
he-has-rescued the soul my from death the eyes my
ἀπὸ δακρύων καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος." τοῦ
from tears and the feet my from slipping of-the
δὲ βασιλέως Ἀλεξίου καὶ τῆς ἐκείνου μητρὸς Ξένης ἐξιόντων
and emperor Alexios and of-the his mother Xene going-out
μὲν ἐκ τῶν βασιλείων κατὰ τὴν Ἀνδρονίκου βούλησιν,
indeed from the palace according-to the of-Andronikos will
εἰς δὲ τὰς ἐν τῷ Φιλοπατίῳ βασιλικὰς μετασκηνησαμένων
to and the in — Philopation imperial having-moved
οἰκοδομὰς αἳ τοῦ Μαγγάνη ἐλέγοντο, πρόσεισιν ἐκεῖσε
buildings which — of-Mangana were-called comes there

Ἀνδρόνικος, καὶ τῷ μὲν βασιλεῖ βαθεῖαν ἀπονέμει
Andronikos and to-the indeed emperor deep pays
προσκύνησιν ἐπὶ γόνυ πεσών, καὶ τοὺς ἐκείνου πόδας
obeisance on knee having-fallen and the his feet
προσπτύσσεται, ὡς εἰώθει, κοψάμενος καὶ δάκρυα
embraces as he-was-wont having-beaten(-his-breast) and tears
χεάμενος, τῇ δὲ τούτου μητρὶ Ξένῃ ὅσα καὶ ἀπούσῃ τὴν
having-poured to-the and his mother Xene just-as also absent the
τιμὴν ἀφοσιωσάμενος καὶ τῆς ἐκεῖσε παρουσίας πάρεργον
honor having-acquitted and of-the there presence (a)-by-work
ἀπονείμας τὴν προσαγόρευσιν, καὶ ταύτην ὑποψίας μεστὴν
having-assigned the address and this of-suspicion full
καὶ τοῦ μίσους ἐνδεικτικὴν ὅπερ κατ᾽ αὐτῆς ἐκ μακροῦ τῇ
and of-the hatred indicative which against her from long-ago in-the
ψυχῇ ἐναπέθετο, βραχύ τι προσδιατρίψας μεταχωρεῖ.
soul he-had-stored little something having-tarried he-moves-off
καὶ κατὰ τὴν προηυτρεπισμένην αὐτῷ ἐκεῖ που σκηνὴν
and at the prepared for-him there somewhere tent
ἀφικόμενος εἶχε περὶ αὐτὸν τὰς αὐλαίας πηξαμένους, ὃν
having-arrived he-had about him the curtains having-pitched in-what
τρόπον αἱ ὄρνεις ὑπὸ τὰς ἑαυτῶν ἐπισυνάγουσι πτέρυγας
manner the hens under the their-own gather wings
τὰ νεόττια, πάντα ἄνδρα εὐγενῆ καὶ περίδοξον, ὅτε καί τις
the chicks every man noble and very-glorious when also some
ἀνὴρ Ἶρος ἄλλος Ὁμηρικός, μολοβρὸς καὶ ἀνέστιος, τὰς
man Iros another Homeric (a)-filthy-fellow and hearthless the
τῶν πλουσίων θύρας ἐκτρίβων καὶ θεραπεύων τὴν γαστέρα
of-the rich doors wearing-out and courting the belly
τοῖς τῶν ἄρτων τεμάχεσιν, ἑάλω τὰ βιώσιμα αἰτῶν
with-the of-the loaves slices was-caught the livelihood asking
ἀωρὶ τῶν νυκτῶν περὶ τὴν Ἀνδρονίκου σκηνὴν εἱλούμενος,
untimely of-the nights about the of-Andronikos tent loitering

ἐξωμίας ἄνθρωπος καὶ παραβλώψ, καὶ τὰ μὲν πρῶτα
(a)-bare-shouldered man and squint-eyed and the indeed first
ὑπὸ τῆς θεραπείας Ἀνδρονίκου ὡς γοητείαις εὐθύνεται
by the retinue of-Andronikos as sorceries is-accused
χρώμενος, ἔπειτα καὶ τῷ δήμῳ τῆς πόλεως ἐκδίδοται
using then also to-the people of-the city is-handed-over
παραλόγως. οἱ δὲ ὅσα καὶ θείας ὄψεως τῆς Ἀνδρονίκου
unreasonably they and just-as also divine sight of-the of-Andronikos
θέας ἐχόμενοι, ἀνεξελέγκτως αὐτὸν εἰς τὸ θέατρον
face holding without-proof him to the theater
ἀπαγαγόντες καὶ κραῦρα ξύλα καὶ φακιόλους φορυτῶν
having-led-away and dry wood and bundles of-sweepings
ξυναγείραντες κατακαίουσιν Ἀνδρονίκῳ χαριζόμενοι.
having-gathered burn(-him) to-Andronikos gratifying
Συχνὰς δ' ἐκμετρήσας ἡμέρας Ἀνδρόνικος σὺν τῷ βασιλεῖ
many and having-measured-out days Andronikos with the emperor
κατὰ τὸ Φιλοπάτιον, ἔσχεν ἔρον εἰς τὴν μεγαλόπολιν
at — Philopation had (a)-love to the great-city
εἰσιέναι καὶ τὸν τοῦ βασιλέως ἐξαδέλφου Μανουὴλ τάφον
to-enter and the of-the emperor cousin Manuel tomb
ἰδεῖν. ὅθεν κατὰ τὴν τοῦ Παντοκράτορος μονὴν γεγονώς,
to-see whence at the of-the Pantokrator monastery having-come
καὶ ποῦ τέθαπται ὁ νεκρὸς ἐρωτήσας, καὶ ἐπιστὰς
and where is-buried the corpse having-asked and having-stood
τῷ σωματοφυλακοῦντι μνήματι πικρῶς ἐπεδάκρυσε
at-the body-guarding tomb bitterly wept
καὶ περιπαθῶς ὠλοφύρετο, ὡς καὶ πολλοὺς τῶν
and passionately lamented so-that also many of-the(-ones)
παρεστώτων μὴ τὸν κρυψίνουν ὅλως διορᾶν Ἀνδρόνικον
standing-by not the secret-minded at-all to-see-through Andronikos
ἔχοντας θαυμάσαι λίαν, καὶ εἰπεῖν „ὦ τοῦ θαύματος,
being-able to-wonder very and to-say O the wonder

πῶς ἐφίλει τὸν προσγενῆ ἄνακτα, καίπερ διώκτην ὄντα
how he-loved the kindred lord although (a)-persecutor being
θερμὸν καὶ φιλανθρώπως αὐτῷ μὴ χρησάμενον.” τινῶν δὲ
hot and humanely to-him not having-treated(-him) some and
τῶν ἐκ τοῦ γένους ἀποσπώντων αὐτὸν τῆς σοροῦ
of-the(-ones) from the family dragging-away him from-the coffin
καὶ ἀρκούντως ὑποφωνούντων τεθρηνηκέναι, οὐδ’ ὅλως
and sufficiently prompting to-have-mourned not-even at-all
καθυπεῖξε ταῖς παραιφάσεσιν, ἀλλ’ αἰτήσας καὶ ἔτι μικρὸν
he-yielded to-the persuasions but having-asked also still (a)-little
ἐνδοθῆναί οἱ προσκαρτερῆσαι τῷ τάφῳ, ἔχειν γάρ τι
to-be-granted to-him to-remain at-the tomb to-have for something
τῷ κειμένῳ κατὰ μόνας διαλεχθῆναι, τὰς χεῖρας ὡς
to-the(-one) lying in private to-converse the hands as
πρὸς ἱκεσίαν διασκευάσας καὶ διαπετάσας τὰς παλάμας καὶ
for supplication having-arranged and having-spread the palms and
διάρας τοὺς ὀφθαλμοὺς πρὸς λίθον τὸν νεκροδέγμονα,
having-raised the eyes to (the)-stone the corpse-receiving
καὶ τὰ χείλη μὲν κινῶν φωνὴν δ’ οὐδαμῶς ἐξικνουμένην
and the lips indeed moving (a)-voice and in-no-way reaching
εἰς ὦτα τῶν παρεστώτων οὐμενοῦν ἀφιείς, διάλεξίν
into ears of-the(-ones) standing-by not-at-all letting-out conversation
τινα λαθραίαν ἐπεποίητο. τοῖς μὲν οὖν πλείστοις ἐπῳδή
some secret made to-the indeed then very-many incantation
τις βαρβαρικὴ λελόγιστο τὰ ὑποψαλλόμενα· ἦσαν
some barbarous was-reckoned the(-things) murmured were
δ’ οἵ, καὶ τούτων μάλιστα οἱ τὴν εὐτραπελίαν
and (those)-who and of-these especially the(-ones) the wit
μεταδιώκοντες, ἐπικερτομεῖν Ἀνδρόνικον ἔφασκον τῷ βασιλεῖ
pursuing to-mock Andronikos said the emperor
Μανουήλ, καὶ ἀτεχνῶς κειμένῳ ἐπεμβαίνοντα λέγειν „ἔχω
Manuel and simply lying trampling to-say I-have

σε τὸν διώκτην καὶ πολλὰς ἐμοὶ πλάνας προυξενηκότα, καὶ
you the persecutor and many for-me wanderings having-caused and
ὑφ᾽ οὗ παγκόσμιον μικροῦ γεγένημαι περιλάλημα, πᾶσαν
by whom world-wide by-little I-have-become talk every
δυστυχῶς ἐπιὼν ὁπόσην ἥλιος ἔπεισιν ἅρματι. καὶ
unhappily traversing as-much-as (the)-sun traverses with-(the)-chariot and
σὲ μὲν ὁ ἑπτακόρυμβος οὑτοσὶ συνέξει λίθος ὅσα καὶ
you indeed the seven-crested this will-hold-fast stone just-as also
ἄφυκτον δεσμωτήριον, νήγερτον καθεύδοντα ὕπνον καὶ τῆς
(an)-inescapable prison sound sleeping sleep and of-the
τελευταίας σάλπιγγος ἐπιδεᾶ· ἐγὼ δὲ τὸ σὸν μετελεύσομαι
last trumpet needing I and the your will-pursue
γένος οἷα καὶ λέων μεγάλῳ ἐπεγκύρσας θηράματι, καὶ δίκας
race as also (a)-lion on-great having-chanced prey and penalties
ὧν ὑπὸ σοῦ κακῶς ἐπεπόνθειν γενναίας εἰσπράξομαι,
for-what by you badly I-had-suffered noble will-exact
τὴν ἑπτάλοφον ταυτηνὶ καὶ λαμπρὰν εἰσιὼν μεγαλόπολιν."
the seven-hilled this and brilliant entering great-city

XIV · THE TERROR BEGINS

Andronikos takes the government into his hands, keeps the boy at his hunts under guard, and rewards the Paphlagonians and his partisans. The nobles are driven out, imprisoned, or blinded on no charge but their glory, their bodies, or an old grudge; brother betrays brother, and men are crowned and beheaded on the same day. John Kantakouzenos, who beat a eunuch for speaking with the boy, is blinded. Maria, Manuel's daughter, is rumored to have died of a slow poison given through the eunuch Pterygionites, and her husband the Caesar soon after, also under suspicion.

Ἐκ δὲ τούτου πάντα οἶκον ἐπιὼν περιφανῆ καὶ
from and this every house going-to conspicuous and
λαμπρόν, καὶ σταθμοὺς ἐν αὐτοῖς τιθέμενος ὥσπερ οἱ
brilliant and lodgings in them setting as the(-ones)
παροδεύοντες, ἐχρῆτο τοῖς κοινοῖς ὡς ᾑρεῖτο πράγμασι,
passing-by he-used the common as he-chose affairs
τῷ μὲν βασιλεῖ Ἀλεξίῳ κυνηγεσίοις ἐφιεὶς προσανέχειν καὶ
to-the indeed emperor Alexios to-hunts allowing to-attend and
κούφοις τῷ τέως τρέφεσθαι πνεύμασι μετὰ τῶν φυλάκων
on-light the meanwhile to-be-fed winds with the guards
οὓς αὐτῷ ἐπέστησεν, οὐ μόνον τὴν εἴσοδον αὐτοῦ καὶ
whom over-him he-set not only the entry his and
τὴν ἔξοδον ἐφορῶντας τοῦ μυθικοῦ πολυομμάτου Ἄργου
the exit watching than-the mythical many-eyed Argos
περιεργότερον, ἀλλὰ καὶ μηδένα τῶν ἁπάντων παρεῶντας
more-curiously but also nobody of-the all allowing
μόνῳ ἐντυγχάνειν αὐτῷ ὑπέρ τε οὑτινοσοῦν διομιλεῖσθαι
alone to-meet him about both any to-converse
πράγματος, ἑαυτὸν δὲ ὅλον ἐπιδοὺς ταῖς μερίμναις, οὐχ
affair himself and wholly having-given to-the cares not
ὅπως εὖ πράττοιεν τὰ Ῥωμαίων, ἀλλ᾽ ὅπως ἀφελεῖ
how well might-fare the of-(the)-Romans but how he-will-take-away
ἐκ τῶν βασιλείων καὶ σύμβουλον ἀγαθὸν καὶ κατὰ χεῖρα
from the palace both (a)-counselor good and in hand
γενναῖον ἄνδρα καὶ ἀρειμάνιον καὶ ὕποπτον ἐκείνῳ καὶ
noble man and war-mad and suspect to-him and
πρὸς ἀρχὴν ἐπιτήδειον. ἀμειβόμενος δὲ τῆς πρὸς αὐτὸν
for rule suitable requiting and for-the toward him
εὐνοίας τοὺς Παφλαγόνας καὶ πάντα ἄλλον συνεφαψάμενον
goodwill the Paphlagonians and every other having-joined
αὐτῷ τῆς ἀποστασίας, ἀξιώμασι τούτους ἐτίμησε καὶ
him in-the revolt with-dignities these he-honored and

δωρεαῖς φιλοτίμοις ἐδεξιώσατο. καὶ τὰ λαμπρὰ δὲ τῶν
with-gifts generous welcomed and the brilliant too of-the
ἀξιωμάτων καὶ τὰ τῶν ὀφφικίων μεγαλοπρεπῆ, ὡς ἐκείνῳ
dignities and the of-the offices magnificent as to-him
ἐδόκει, μετατιθεὶς ἐπὶ τινῶν μὲν τοὺς ἑαυτοῦ παῖδας
seemed transferring for some indeed the his-own children
προυβάλετο, ἄλλοις δ' ὑπεξῆρεν ἑτέρους, ἐκείνους δήπουθεν
he-put-forward to-others and he-removed others those surely
οἳ ὀπίσω αὐτοῦ ἐπορεύθησαν ὡς τοῦ Βάαλ πρότερον οἱ
who behind him went as — Baal formerly the(-ones)
ἀποστάντες ζῶντος θεοῦ, καὶ οἳ τὴν παρ' ἐκείνῳ δόξαν
having-stood-away-from (the)-living God and who the with him glory
προέθεντο τῆς ἐπαινετῆς καὶ προτέρας τιμῆς καὶ τῷ
preferred to-the praiseworthy and former honor and to-the
δικαίῳ μερίδα παρεχομένης. οἱ μὲν τοίνυν τῶν ἐπισήμων
just (a)-portion providing the indeed therefore of-the notable
ἀνδρῶν ἀπηλαύνοντο οἴκου καὶ πατρίδος καὶ τῶν
men were-driven from-house and fatherland and from-the
φιλτάτων ἀποδιίσταντο, οἱ δὲ εἱρκταῖς καὶ χειροπέδαις
dearest were-separated others and to-prisons and to-handcuffs
σιδηραῖς παρεδίδοντο, ἄλλοι τοὺς ὀφθαλμοὺς ἐξεκόπτοντο,
iron were-handed-over others the eyes had-cut-out
αἰτίαν οὐδεμίαν πρόδηλον ἐπαγομένην σφίσιν εὑρίσκοντες,
(a)-cause no manifest brought-against them finding
τὸ δ' εἶναι τῶν εὐπατριδῶν σιωπηλῶς ἐγκαλούμενοι, καὶ
the but to-be of-the patricians silently being-charged and
κατὰ πόλεμον πολλάκις εὐδοκιμῆσαι, ἢ φυῆς σώματος
in war often to-have-won-glory or of-stature of-body
γενναιοτάτης ἢ ὥρας ἱκανωτάτης μεταλαχεῖν, ἤ τι
most-noble or of-bloom most-sufficient to-have-had or something
ἕτερον φέρειν ἐπαινετόν, ὑποκνίζον Ἀνδρόνικον οὐδ'
other to-bear praiseworthy pricking Andronikos nor

ἀγαθὰς ἐκείνῳ τὰς ἐλπίδας ὑποβάλλον, εἴτε μὴν παλαιᾶς
good to-him the hopes suggesting or indeed of-old
μικρολυπίας ὑποτῦφον ἐμπύρευμα καὶ φρυκτεῦον κατὰ
petty-grievance smoldering (a)-spark and blazing by
βραχὺ τὸ πρώην λεληθὸς καὶ σποδιούμενον τοῦ θυμοῦ.
little the(-thing) formerly hidden and in-the-ashes of-the wrath
ἦν τοίνυν ἀνύποιστος ἡ τοῦ τότε καιροῦ φορά, καὶ ἡ πρὸς
was therefore unbearable the of-the then time course and the toward
ἀλλήλους καὶ τῶν πάνυ γνησιωτάτων οὐκ εὐπιστία κακὸν
one-another also of-the very most-legitimate not trust (an)-evil
ἀφόρητον ἦν. οὐ γὰρ μόνον ἀδελφὸς παρεώρα κασίγνητον
insupportable was not for only (a)-brother overlooked (a)-brother
καὶ πατὴρ υἱέα παρέτρεχεν, ἂν οὕτως ἤρεσκεν Ἀνδρονίκῳ·
and (a)-father (a)-son passed-by if thus it-pleased Andronikos
ἀλλὰ καὶ τοῖς καταπροδιδοῦσι τούτους συνέπραττον
but also with-the(-ones) betraying these they-did
τὰ ἀνήκεστα, καὶ τὴν τοῦ γένους συνδιετίθουν ἀπώλειαν.
the incurable(-things) and the of-the family helped-arrange destruction
εἰσὶ δ' οἳ καὶ κατεμήνυον αὐτότατοι τοὺς οἰκείους
are and (those)-who also denounced themselves the own(-people)
ὡς ἢ τὰ παρ' Ἀνδρονίκου χλευάζοντας δρώμενα
as either the(-things) by Andronikos mocking done
ἢ γοῦν τῷ τὴν πατρῴαν ἄρχοντι ἀρχὴν Ἀλεξίῳ
or at-any-rate to-the the paternal ruling rule Alexios
προσκειμένους, Ἀνδρονίκου δὲ ἀπαυχενίζοντας ἑαυτούς.
attached against-Andronikos and rebelling themselves
πολλοὶ δὲ κἂν τῷ ἄρτι κατηγορεῖν κατηγόρηντο, καὶ
many and even-in the just-now accusing were-accused and
διελέγχοντες ἑτέρους ἐπ' Ἀνδρονίκῳ τέκτονας κακῶν
convicting others against Androikos builders of-evils
ὑπ' αὐτῶν ἐκείνων τῶν κατηγορουμένων ἢ καὶ
by themselves those of-the(-ones) accused or also

ἄλλων παρεστώτων προσηγγέλλοντο, καὶ εἶχε τούτους
of-others standing-by were-denounced and held these
κἀκείνους συναπαγομένους μία φρουρά. καὶ πιστοῦταί μοι
and-those led-away-together one prison and confirms for-me
τὸν λόγον ὁ Καντακουζηνὸς Ἰωάννης παλαμναιοτάταις
the account — Kantakouzenos John with-most-murderous
πυγμαῖς παίων ἐκτομίαν τινὰ Τζίταν καλούμενον καὶ τοὺς
fists striking eunuch some Tzitas called and the
ὀδόντας ἐκριζῶν καὶ τὰ χείλη ἀφαιματῶν, ὅτι πεφώραται
teeth uprooting and the lips making-bloody because he-was-caught
ὅλως Ἀλεξίῳ τῷ βασιλεῖ περὶ τῶν κοινῶν διαλεχθεὶς
at-all with-Alexios the emperor about the common having-conversed
συμφορῶν, παραχρῆμα δὲ συλλαμβανόμενος καὶ αὐτὸς
misfortunes at-once and being-seized and himself
ἐξομματούμενός τε καὶ εἱρκτῇ ζοφώδει παραρριπτούμενος
being-blinded both and into-prison dark being-thrown
οἷς προσηγορίαν διὰ τοῦ δεσμοφύλακος πέπομφεν
because (a)-greeting through the jailer he-had-sent
ἑνὶ τῶν γυναικομαίμων Ἀγγέλῳ δεσμώτῃ ὄντι τῷ
to-one of-the wife's-brothers Angelos (a)-prisoner being —
Κωνσταντίνῳ. οὐκοῦν διὰ ταῦτα ἦν εἰς πόνον
Constantine therefore because-of these(-things) was in pain
ἅπασα κεφαλή, καὶ παρρησίαν ἦγον ὡς οὔ ποτε, τοῖς
every head and openness they-had as not ever by-the
ἔργοις αὐτοῖς πιστούμενα, ὅσα τὸ Ἐμπεδόκλειον νεῖκος
deeds themselves confirmed as-many-as the Empedoclean Strife
τερθρεύεται τέρατα. οὐ γὰρ ἐκλεκτὸς μόνον ἅπας καὶ
prates prodigies not for chosen only every(-man) and
ὑψηλὸς τῆς ἐναντίας ὢν Ἀνδρονίκῳ μερίδος ἔπασχε τὰ
lofty of-the opposite being to-Andronikos party suffered the
οἰκτρότατα, ἀλλὰ καὶ περὶ τοὺς οἰκείους θεραπευτῆρας
most-pitiable(-things) but also about the own servants

ἀπιστότατος ὤν, οὓς χθὲς ἐψώμιζε στέαρ πυροῦ καὶ οἷς
most-faithless being whom yesterday he-fed (the)-fat of-wheat and to-whom
τὸν μόσχον παρετίθει τὸν σιτευτὸν καὶ τὸν ἀνθοσμίαν
the calf he-set-before the fatted and the flower-scented(-wine)
ἐκίρνα ζωρότερον καὶ τῷ κύκλῳ τῶν περὶ ἐκεῖνον
he-mixed stronger and in-the circle of-the(-ones) about him
ἐνέγραφε, τούτους διετίθει χειρίστως σήμερον. ἦν
enrolled these he-treated worst today it-was(-possible)
δὲ καὶ τὸν αὐτὸν ἐπὶ τῆς αὐτῆς ἡμέρας πολλάκις ὁρᾶν
and also the same on the same day often to-see
στεφανούμενόν τε ἅμα κατὰ τὸν τοῦ Ξέρξου ναύαρχον
being-crowned both at-once like the — of-Xerxes admiral
καὶ δειροτομούμενον, ὑμνούμενόν τε καὶ βλασφημούμενον.
and being-beheaded being-hymned both and being-reviled
ὥστε καὶ πολλοὶ τῶν ἐπιγραφομένων Ἀνδρόνικον,
so-that also many of-the (those)-enrolling(-themselves-under) Andronikos
οἱ ὅλως ἐς νοῦν βάπτοντες, τὸν ἐξ ἐκείνου ἔπαινον
who wholly into mind dipping the from him praise
καταβολὴν ἐνόμιζον ὕβρεως, καὶ τὴν ἀγαθοῦ τινὸς
(a)-foundation thought of-outrage and the of-good some
ἀνθρωπικοῦ παροχὴν ἔμεσιν τῶν προσόντων ᾤοντο
human provision (a)-vomiting of-the(-things) present thought
εἶναι καὶ καταστροφὴν τὴν ἐπιστροφήν. ὁ δ’ αὐτὸς
to-be and (an)-overturning the turning-toward the and same
φαρμακὸς ὢν ὀλοώτατος ἐλελήθει πρότερον, ἡνίκα
(a)-poisoner being most-deadly had-escaped-notice formerly when
τυραννεῖν ἐπεβάλλετο· ἡμερῶν δέ τινων διαλειπουσῶν
to-be-tyrant he-attempted of-days and some intervening
ἤδετο παρὰ πᾶσιν (εἰ δὲ καὶ ἀληθῶς, οὐκ ἔχω
it-was-sung among all if and also truly not I-am-able
λέγειν) καὶ θανασίμους κεραννύειν ἐπίστασθαι κύλικας,
to-say also deadly to-mix to-know cups

καὶ τῆς ὀλεθρίας ταύτης ἐς ᾅδου καταγωγῆς πρώτην
and of-the destructive this to Hades descent first
τῶν ἄλλων πειραθῆναι τὴν Καισάρισσαν Μαρίαν τὴν
of-the others to-have-tried the Caesarissa Maria the
θυγατέρα τοῦ βασιλέως Μανουήλ, τὴν καὶ πρώτως
daughter of-the emperor Manuel the(-one) also first
καὶ παρὰ πάντας μάλιστα τὴν Ἀνδρονίκου κάθοδον ἐς
and beyond all especially the of-Andronikos return to
τὴν πατρίδα γλιχομένην ἰδεῖν· ὑποφθαρῆναι γὰρ χρησταῖς
the fatherland longing to-see to-be-corrupted for with-good
ὑποσχέσεσιν ἐκτομίαν τινὰ πατρῷον ὑπηρέτην τῇ γυναικί,
promises eunuch some paternal servant to-the woman
τοὐπίκλην Πτερυγιονίτην, καὶ λυγρὸν ἐγχεθῆναι τῇ
by-surname Pterygionites and baneful to-be-poured to-the
ἀνθρώπῳ διὰ τούτου φάρμακον, εἶναι δὲ μὴ τῶν
woman through him (a)-drug to-be and not of-the(-ones)
αὐτίκα θανατούντων τὸ ποθὲν δηλητήριον ἀλλὰ τῶν
at-once killing the drunk poison but of-the(-ones)
κατὰ βραχὺ παρακατατιθεμένων θανάτῳ καὶ ὑπεξαγόντων
by little consigning to-death and leading-out
τοῦ ζῆν σχολαίτερον. οὐ πολὺς ὁ ἐν μέσῳ καιρός,
from-the living more-slowly not much the in (the)-middle time
καὶ τῷ τῆς γυναικὸς μόρῳ καὶ ὁ ταύτῃ συζυγεὶς
and to-the of-the woman fate also the to-her yoked
Καῖσαρ ἐπηκολούθησε. πλὴν οὐδ' οὗτος φυσικῶς ἐλέγετο
Caesar followed however not-even this(-man) naturally was-said
τελευτᾶν, ἀλλ' ὕποπτος ἦν κἂν τούτῳ Ἀνδρόνικος, καὶ
to-die but suspect was even-in this Andronikos and
κύλιξ ἐτεκμαίρετο μία ζωῆς κατευνάστρια δύο ἀμαυρῶσαι
(a)-cup was-inferred one of-life lull-to-sleep two to-darken
τέκνα πιότητος.
children of-fatness

Andronikos wants his daughter Irene, born of Theodora, married to Manuel's bastard son Alexios, and puts the question to the synod in a terse note. The synod and the senate divide; most, bought with money and honors, consent, while a few bishops and the patriarch Theodosios stand firm. Seeing that he can do nothing, Theodosios withdraws to the island of Terebinthos. The archbishop of the Bulgarians blesses the marriage, and Basil Kamateros becomes patriarch, having promised in writing to do whatever Andronikos wished.

Βουληθεὶς δὲ τὸ ἐκ τῆς ἀνεψιᾶς Θεοδώρας ἀποτεχθὲν
having-wished and the from the niece Theodora born
αὐτῷ θυγάτριον τὴν Εἰρήνην εἰς γάμον ἁρμόσαι τῷ
to-him little-daughter — Irene into marriage to-join —
Ἀλεξίῳ, ὃν ἡ Κομνηνὴ Θεοδώρα τῷ βασιλεῖ ἐγείνατο
to-Alexios whom — Komnene Theodora to-the emperor bore
Μανουήλ, βιβλίον λακωνίζον ξυντίθησι πρὸς τὴν ἱερὰν
Manuel (a)-paper laconic he-composes to the holy
σύνοδον, καὶ τοῦτο ὑποσημηνάμενος κάτωθεν διὰ μέλανος
synod and this having-signed below in ink
τῷ οἰκείῳ ὀνόματι ἐπὶ κοινῆς ἀκροάσεώς τε καὶ σκέψεως
with-the own name for common hearing both and examination
ἀναδίδωσιν. ἦν δὲ τῶν γραφομένων ὁ νοῦς, εἰ
he-gives-out was and of-the(-things) written the sense whether
συγχωρηθήσεται προβῆναι συνάλλαγμα γαμικὸν βραχὺ
it-will-be-allowed to-go-forward (a)-contract of-marriage little
μὲν ἢ οὐδὲν παρυπεμφαῖνον τὸ ἄσεμνον, γενησόμενον
indeed or nothing showing the unseemly going-to-become
δ' ὅμως εἰς ἁρμογὴν τῆς ἑῴας καὶ ἑσπερίου λήξεως
but nevertheless for (the)-fitting of-the eastern and western portion
καὶ ἀνάρρυσιν αἰχμαλώτων καὶ χορηγὸν πλείστων ὅσων
and ransoming of-captives and supplier of-very-many as-many-as

ἑτέρων συνοισόντων κοινῇ. καὶ τὸ βραχυσύλλαβον
other(-things) going-to-profit in-common and the short-syllabled
τοῦτο γραμμάτιον, καθά τις εὐρυχανδὴς ζωμήρυσις ἢ
this little-letter like some wide-mouthed ladle or
Ποσειδώνιος τρίαινα ἢ γοῦν τὸ εὐφυὲς τῆς Ἔριδος
Poseidon's trident or at-any-rate the well-shaped — of-Strife
μῆλον, τήν τε σύνοδον διεκύκησε καὶ τῆς συγκλήτου
apple the both synod stirred-up and of-the senate
μέρος ὁπόσον περὶ τὸ κρίνειν διέστησεν, ἢ ἀληθέστερον
(the)-part as-much-as about the judging divided or more-truly
εἰπεῖν κατ᾽ ἀλλήλων ἐφώπλισε καὶ εἰς μοίρας ἐναντίας
to-say against one-another armed and into parts opposite
ἀπέκρινε. χρήμασι γὰρ οἱ πλεῖστοι τούτων καθυπαχθέντες
separated with-money for the most of-these brought-under
καὶ τιμῶν ἀναβάσεσι μαλαχθέντες ἐπευδόκουν, ὡς οὐκ
and of-honors by-ascents softened consented as not
ὤφελον, οἷα μὴ κεκωλυμένῳ τῷ γάμῳ. οἱ δὲ θρασύτεροι
they-ought as not forbidden the marriage the and bolder
τῶν δικαστῶν καὶ ψηφοφαγεῖν εἰωθότες καὶ κατὰ τοὺς
of-the judges and vote-eating accustomed and at the
περιφανεῖς ἀγυρτεύοντες οἴκους, καὶ οἱ φιλόχρυσοι τῶν
conspicuous begging houses and the gold-loving of-the(-ones)
ἐκ τῆς συνόδου καὶ θεοκάπηλοι, μηδὲ συγγένειαν
from the synod and God-peddlers not-even kinship
ἐπισύρεσθαι διετείνοντο τὰ συναφθησόμενα πρόσωπα
to-draw-in insisted the going-to-be-joined persons
διὰ τὸ ἐξ ἀθεμίτων ἑνώσεων ἀμφότερα γεγενῆσθαι
because-of the from unlawful unions both to-have-been-born
καὶ τοῖς νόμοις τὰ τοιάδε κυήματα ἀνεπικοινώνητα
and by-the laws the such offspring uncommunicating
συγγενείας καὶ ἐκ διαμέτρου ἀφεστῶτα λογίζεσθαι· καὶ
of-kinship and from (the)-diameter standing-apart to-be-reckoned and

ἀμαθὲς δὲ ἔλεγον εἶναι καὶ τὸ οἴεσθαι ὅλως δεῖν ὑπ'
ignorant too they-said to-be also the to-think at-all needful under
ἐξέτασιν πίπτειν ἐκδηλοτέραν ἡλίου ὑπόθεσιν. οἱ δ'
examination to-fall more-manifest than-the-sun (a)-case others and
οὐδ' ἄκροις ὠσὶ παραδεχόμενοι τὰ φθεγγόμενα,
not-even with-tips-of ears receiving the(-things) uttered
καὶ ὡς ἀγχωμάλοις ὅπλοις τοῖς νόμοις τὰς προσβολὰς
and as with-evenly-matched arms the laws the attacks
αὐτῶν ἀπρακτοῦντες, μηδὲ συγχωροῦντες τῇ πράξει ὡς
their making-vain nor allowing the deed as
ἀθεμιτογαμίας μεστῇ ἀντέπιπτον γενναιότερον. ἦσαν δ'
of-unlawful-marriage full fought-back more-nobly were and
οἱ τὴν καλλίστην ταύτην εἰσηγούμενοι γνώμην, καὶ
the(-ones) the finest this proposing opinion and
τῆς πάλης τῆς κρείττονος, βραχεῖς ἐκ τῶν ἀρχιερέων καὶ
of-the struggle the stronger few from the high-priests and
τῶν ἐντρόφων τοῦ βήματος καί τινες εὐσύνοπτοι τῶν τῆς
of-the nurslings of-the sanctuary and some easily-counted of-the of-the
συγκλήτου βουλῆς. καὶ αὐτοὺς δὲ ὁ τοῦ πατριάρχου ζῆλος
senatorial council and them too the of-the patriarch zeal
ἐπισυνίστη τε καὶ ἐπήλειφεν, οὐκ ἐῶν ἑτεροζυγεῖν καὶ
rallied both and anointed not allowing to-be-unequally-yoked even
οἴκοθεν ἄλλως σπεύδοντας. οὔτε γὰρ ἡ Ἀνδρονίκου τοῦτον
from-home otherwise hastening neither for the of-Andronikos this(-man)
ἐξέλυσε μεγαλειότης οὔθ' ἡ τῶν αὐτοῦ λόγων ἐστυφέλιξε
loosened majesty nor the of-the his words shook
δύναμις οὔθ' αἱ ἀπειλαὶ διετάραξαν, ἀλλ' ἦν ἀτίνακτος
power nor the threats troubled but he-was unshaken
ὡς ἐκεῖνος ὁ πρόβολος περὶ ὃν ἀεὶ κῦμα ὀρθὸν ἵσταται
as that the breakwater about which always (a)-wave upright stands
καὶ ἅλμη περιμορμύρουσα· ὁ δὲ εἰς ἀφρὸν διαλύων
and brine roaring-around which and into foam dissolving

καὶ μακρὰ κλάειν ἐῶν τὴν ἠχήεσσαν θάλασσαν ἐπὶ τῆς
and long to-wail letting the echoing sea on the
αὐτῆς ἐστήρικται βάσεως. ἀμέλει τοι καὶ ἰδὼν ὡς
same is-fixed base indeed surely also having-seen that
οὐδὲν ὠφελεῖ ἀλλ' ἀνακαλύπτως ἔπεισι τὰ δεινὰ καὶ
nothing he-helps but openly come-on the terrible(-things) and
νικᾷ τὰ χείρονα, τῶν ἱερῶν ἀπανίσταται ἀρχείων καὶ
win the worse(-things) from-the holy withdraws offices and
πρὸς τὴν νῆσον ἀφικνεῖται Τερέβινθον, καθ' ἣν αὐτῷ τὴν
to the island arrives Terebinthos on which for-him the
καταγωγὴν καὶ τὴν τοῦ σκήνους ηὐτρεπίκει κατάθεσιν. ὁ δὲ
lodging and the of-the body had-prepared deposition — and
Ἀνδρόνικος τὴν τοῦ Θεοδοσίου ὑποχώρησιν δεξίωμα τύχης
Andronikos the — of-Theodosios withdrawal (a)-gift of-fortune
κάλλιστον ἡγησάμενος ὡς παρὰ δόξαν ἅμα καὶ κατὰ
finest considering as beyond expectation at-once and according-to
γνώμην ἐκείνῳ γεγενημένην, τό τε συνάλλαγμα ἐξεπέρανε
mind to-him having-happened the both contract accomplished
τῶν γάμων, εὐλογητὴν ἀναδείξας τὸν ἀρχιποίμενα τῶν
of-the marriage (as)-blesser having-appointed the chief-shepherd of-the
Βουλγάρων παρόντα τηνικαῦτα τῇ πόλει, καὶ περὶ
Bulgarians present then in-the city and about
τοῦ τὸν πατριαρχικὸν θρόνον διαδεξομένου καὶ αὐτῷ
the(-one) the patriarchal throne going-to-succeed and for-him
πληρώσοντος τὰ κατ' ἔφεσιν διασκέπτεται. καὶ
going-to-fulfill the(-things) according-to desire considers and
ἐπικρίνεται Ἀνδρονίκῳ εἰς τὴν οἰκουμενικὴν προεδρίαν ὁ
is-chosen by-Andronikos for the ecumenical presidency —
Καματηρὸς Βασίλειος, ἢ τὸ ἔμπαλιν, ὡς ἐλέγετο, αὐτὸς
Kamateros Basil or the reverse as was-said himself
Ἀνδρόνικον ἐφειλκύσατο πρὸς τὴν τοιαύτην ἐπιλογὴν οἷς
Andronikos drew toward the such choice because

μονώτατος ἐξ ἁπάντων Ἀνδρονίκῳ ἐγγράφως συνέθετο
alone of all with-Andronikos in-writing he-covenanted
ἐκεῖνα ἐν τῷ ἀρχιερατεύειν διαπράττεσθαι ὅσα
those(-things) in the being-high-priest to-do as-many-as
φιλητὰ Ἀνδρονίκῳ, κἂν εἴησαν παναθέμιτα, κἀκεῖνα
dear to-Andronikos even-if they-might-be all-unlawful and-those
πάλιν ἀποστυγεῖν ὁπόσα οὐχ ἡδύνει Ἀνδρόνικον.
again to-loathe as-many-as not pleased Andronikos

XVI · VATATZES AT PHILADELPHIA

The sultan of Ikonion, hearing of Manuel's death, takes Sozopolis, besieges Attaleia, and sacks Kotyaeion. The grand domestic John Vatatzes holds Philadelphia against Andronikos, who sends Andronikos Lapardas against him. Vatatzes, too sick to stand, has himself carried to a hill to watch his sons Manuel and Alexios rout Lapardas, and dies a few days later; Philadelphia submits. His sons flee to the sultan, set sail for Sicily, and are driven into Crete, where they are seized and reported to Andronikos, who blinds them. Andronikos then carries the boy Alexios on his shoulders to the ambo of the great church, weeping, more loving than a father.

Οὐ μόνον δὲ τὰ κατὰ τὴν πόλιν οὕτως ἐνόσουν, ἀλλὰ
not only and the(-things) in the city thus were-sick but
καὶ τὰ ἔξω χειρόνως ἔπασχον, ἀντιπεριάγοντος οἶμαι
also the(-things) outside worse suffered turning-against I-think
τοῦ δαιμονίου τὴν ὑπὸ Ῥωμαίους εἰς πᾶν ἀξύμφορον.
the demonic(-power) the(-land) under (the)-Romans into every unprofitable(-state)
ὁ γὰρ τοῦ Ἰκονίου σουλτάνος, ὃν ἐδείμαινε πέτρον ἀεὶ
the for — of-Ikonion sultan whom he-feared (a)-stone always
κατὰ Τάνταλον ὑπὲρ κεφαλῆς ἀνατέλλοντα, φημὶ δὴ
like Tantalus over head rising I-mean indeed
τὸν ἄνακτα Μανουήλ, εἰς ᾅδου μετακεχωρηκέναι μαθὼν
the lord Manuel into Hades to-have-departed having-learned

τήν τε Σωζόπολιν πολέμου νόμῳ κατέσχε, καὶ τὰς
— both Sozopolis of-war by-law seized and the
πέριξ κωμοπόλεις ληϊσάμενος ὑφ᾽ ἑαυτὸν ἐποιήσατο,
surrounding townships having-plundered under himself made
καὶ τὴν Ἀττάλου δὲ λαμπροτάτην πόλιν πολιορκίᾳ χρονίᾳ
and the of-Attalos too most-brilliant city with-siege long
ἐκάκωσε, καὶ τὸ Κοτυάειον ἐξεπόρθησε, καὶ ἑτέρας συχνὰς
harmed and — Kotyaeion sacked and other many
χώρας παρεστήσατο. καὶ ὁ μέγας δὲ δομέστικος Ἰωάννης
lands won-over and the grand too domestic John
ὁ ἐκ Κομνηνῶν, ᾧ τὸ ἐπώνυμον Βατάτζης, ἀνὴρ
the(-one) from (the)-Komnenoi whose the surname (is)-Vatatzes (a)-man
οὐ φαῦλος τὰ τακτικά, πολλὰς δὲ νίκας πολλάκις
not paltry in-the tactics many and victories often
ἐπανῃρημένος κατὰ Περσῶν, τῇ Φιλαδελφείᾳ ἐνδιατρίβων
having-won against Persians — in-Philadelphia tarrying
ἀντεκάθητο γενναίως τῷ Ἀνδρονίκῳ καὶ ὀλιγώρως τῶν
sat-opposed nobly — to-Andronikos and slightingly of-the
τούτου εἶχεν ἐπιταγῶν, καὶ ἀπειλοῦντι δεινὰ
his held orders and to-(him)-threatening terrible(-things)
ἀντενεβριμᾶτο δεινότερα, καὶ κακῶς ἀκούων ὡς
roared-back more-terrible(-things) and ill being-spoken-of as
τυραννίδι ἐπιχειρῶν τῷ ἤδη τετυραννηκότι λαμπρῶς
to-tyranny attempting the(-one) already having-become-tyrant openly
ἐπετίμα τε καὶ ἐπέπληττεν ὡς ἐνστάτῃ δαίμονι, τὸ
rebuked both and upbraided as (an)-opposing demon the
βασίλειον γένος ἐκτρίβοντι. ὅθεν ἐμφυλίων στάσεων καὶ
imperial race wiping-out whence of-civil seditions and
πολέμων αἱ Ἀσιάτιδες ἔγεμον πόλεις. καὶ ἦν τὰ
wars the Asian were-full cities and were the(-things)
ἐντεῦθεν δρώμενα πολλῷ δυσαχθέστερα τῶν ἐξ
hence done much more-grievous than-the(-things) from

ὁμόρων συμβαινόντων ἐθνῶν, ἢ καὶ οὕτως εἰπεῖν, ᾧ
neighboring happening nations or also thus to-say what
χεὶρ οὐκ ἐπεξῆλθεν ἀλλόγλωττος, τοῦτο ἡ ἐγχώριος
(a)-hand not went-over foreign-tongued this the native
ἐθέριζε δεξιά, καὶ κατ᾽ ἀλλήλων ἐκπεπολέμωτο τὸ
reaped right(-hand) and against one-another was-made-hostile the
ὁμόφυλον βαρβαρωθὲν ἅπαν καὶ τοὺς τῆς συγγενείας
kindred barbarized all and the of-the kinship
νόμους ἠγνοηκός. καὶ Ἀνδρόνικος μὲν ὁπλίζειν ἔγνω
laws having-ignored and Andronikos indeed to-arm resolved
κατὰ τοῦ Βατάτζη τὸν Λαπαρδᾶν Ἀνδρόνικον, ἄνδρα
against — Vatatzes the Lapardas Andronikos (a)-man
βραχὺν μὲν τὸ δέμας, δραστήριον δὲ τὰ πολέμια, οὐκ
short indeed in-the body energetic and in-the war(-things) not
ὀλίγον αὐτῷ στρατολογήσας ὁπλιτικόν· ὁ δὲ Κομνηνὸς
small for-him having-levied hoplite(-force) — and Komnenos
Ἰωάννης νόσῳ τότε συνισχημένος καὶ περί που τὴν
John by-disease then held and about somewhere the
Φιλαδελφέων πόλιν ἐσκηνημένος ἀντεξάγει τῷ Λαπαρδᾷ
of-Philadelphians city encamped leads-out-against — Lapardas
τοὺς υἱεῖς, τόν τε Μανουὴλ καὶ τὸν Ἀλέξιον. τοῦ δὲ
the sons — both Manuel and — Alexios of-the and
πολέμου συχνὰς μεταλαβόντος τροπὰς ὁποίας αὐτὸς ἴσησι,
war many having-taken turns of-what-sort himself knows
καὶ πολλῶν ἐξεκατέρωθεν ἀναιρουμένων ταῖς ἐμφυλίοις
and many on-both-sides being-killed in-the civil
συμπλοκαῖς, βαρυπενθὴς ἦν ὁ Βατάτζης τῇ ἐνσκηψάσῃ
grapplings heavily-mourning was — Vatatzes at-the having-fallen-on
καχεξίᾳ ἐπιστυγνάζων ὡς ἀμφοτέραις αὐτὸν συσχούσῃ
ill-health being-gloomy as with-both(-hands) him having-held
καὶ καταβαλούσῃ δυστυχῶς ἐπὶ κλίνης, ὅτε δημοσιεύειν
and having-thrown-down unhappily on (a)-bed when to-make-public

ἔδει καὶ παριστᾶν ὃ τρέφει περὶ τὰ πολεμικὰ
it-was-needful and to-present what he-nourishes about the war(-things)
γενναῖον, καὶ τὰς ἐπὶ νίκῃ νενομισμένας φωνὰς πρὸς τῶν
noble and the for victory customary voices from the
ἑῴων πόλεων δέχεσθαι, ἔτι δὲ πιστοῦσθαι τοῖς ἔργοις πρὸς
eastern cities to-receive still and to-confirm by-the deeds against
οἷον ἀντιφέρεται ἀρχηγὸν ὁ βαρυγέρων Ἀνδρόνικος.
what-sort is-pitted leader the heavy-with-age Andronikos
πράγμασι δὲ καθυποδεικνὺς ὡς προθυμία καὶ νεκροὺς
by-facts and showing that eagerness also (the)-dead
ἀνίστησι καὶ ὡς οὐδὲν καρδίας αἰσθητικῆς ἰσχυρότερον,
raises and that nothing than-(a)-heart sensitive stronger
αἴρειν αὐτὸν ἐπὶ κλινιδίου αὐτοσκεύου προτρέπεται, καὶ
to-raise him on (a)-pallet improvised he-urges and
στῆσαι φέροντας ἐν γηλόφῳ, ὅθεν ὁρατά οἱ τὰ
to-set(-him) carrying(-him) on (a)-hillock whence visible to-him the(-things)
κατὰ πόλεμον ἔσοιτο. οὗ δὴ γεγονότος, καὶ τοὺς υἱεῖς
in war would-be which indeed having-happened and the sons
αὐτοῦ τὴν στρατιὰν κατὰ τὸν δοκοῦντά οἱ τρόπον
his the army in the seeming to-him manner
ἐκτάξαι κελεύσαντος, ἡ νίκη περιφανῶς πρὸς τὸ ἐκείνου
to-draw-up having-ordered the victory conspicuously to the his
μετέβη στράτευμα, τὸ δὲ τοῦ Λαπαρδᾶ τὰ νῶτα μεταβαλὸν
passed army the and — of-Lapardas the backs having-turned
ἐπὶ πλεῖστον ἦν χρόνον διωκόμενον καὶ κτεινόμενον.
for very-much was time pursued and slain
μετὰ βραχείας δ' ἡμέρας τὸν βίον καταστρέψαντος τοῦ
after few and days the life having-ended —
Βατάτζη, οἱ Φιλαδελφεῖς πικρῶς ἐπ' αὐτῷ καὶ βύθιον
Vatatzes the Philadelphians bitterly over him and deeply
ὀλολύξαντες προσχωρεῖν ἐγνώκεισαν Ἀνδρονίκῳ, ὡς μὴ
having-wailed to-go-over decided to-Andronikos so-that not

εἶναι ὅστις οὐχὶ τῶν ἁπάντων. οἱ δὲ καὶ ἐς αὐτὴν τὴν
to-be (one)-who not of-the all they and also to itself the
βασιλεύουσαν πόλιν τὸ τῆς προθυμίας πτερὸν ἔλυον, καὶ
reigning city the of-the eagerness wing loosed and
Ἀνδρόνικον θεραπεύοντες κατὰ τοῦ ἀετιδοῦς ὄρνιθος τοῦ
Andronikos courting against the eagle-like bird —
Βατάτζη καὶ τῶν ἐκείνου νεοττῶν ἔκρωζον ὡς κορῶναι
Vatatzes and the his nestlings cawed as crows
λακέρυζαι, ἢ γοῦν ὡς κηφῆνες περιεβόμβουν ἀγυιὰς καὶ
chattering or at-any-rate as drones buzzed-around streets and
ἀνάκτορα, ὁποῖον δὴ τῶν κακοσχόλων τὸ ἐπιτήδευμα καὶ
palaces such indeed of-the malicious the practice and
τῶν δικρόαν τρεφόντων γλῶτταν ἐπὶ τοῦ στόματος. οἱ
of-the(-ones) forked nourishing (a)-tongue in the mouth the
δὲ τοῦ μεγάλου δομεστίκου υἱοὶ δείσαντες μὴ συσχεθεῖεν
and of-the grand domestic sons having-feared lest they-be-held
καὶ καταπροδοθεῖεν Ἀνδρονίκῳ, μεθίστανται ἐκεῖθεν καὶ
and be-betrayed to-Andronikos move thence and
τῷ Ἰκονιεῖ σουλτάνῳ προσρύονται· οἳ καὶ ὕστερον, ἐξ
to-the Ikonian sultan flee who also later from
ὧν ἔπαθον, προδήλως ὑπέδειξαν μὴ ἐξεῖναί τινι τὰς
what they-suffered plainly showed not to-be-possible for-anyone the
πάγας ὑπεραλέσθαι ἢ τὸ ἀμφίβληστρον διεκδῦναι ὃ
snares to-leap-over or the net to-slip-through which
ἡ ἄνωθεν ἐξέτεινε πρόνοια. δυσχεράναντες γὰρ ἐπὶ τῇ
the from-above stretched-out providence having-been-vexed for at the
μετὰ τοῦ σουλτάνου χρονίᾳ διατριβῇ, ὡς οὐκ ἀμύνειν
with the sultan long stay as not to-ward-off
τοὺς ἐχθροὺς ἐκείνοις ἐθέλοντος, εἰς Σικελίαν ἀπαίρειν
the enemies for-them wishing to Sicily to-set-out
κεκρίκασι, καὶ δὴ νηὸς ἐπιβάντες καὶ οὐρίῳ τὰ πρῶτα
they-decided and indeed (a)-ship having-boarded and with-(a)-fair the first

πνεύματι χρώμενοι τὸ Κρητικὸν διαπλωΐζονται πέλαγος.
wind using the Cretan sail-across sea
κατὰ δὲ τοῦτο τοῦ πνεύματος ἀντιστάντος ἀναγκαστῶς
at and this the wind having-turned-against by-necessity
τῇ Κρήτῃ προσίσχουσι, καὶ γνωσθέντες παρά τινος
— at-Crete they-put-in and recognized by someone
ἐκεῖσε φυλάσσοντος (γένους οὗτος τοῦ πελεκυφόρου καὶ
there guarding of-race this of-the axe-bearing and
Κελτικοῦ) συλλαμβάνονται καὶ τῷ τῆς Κρήτης δασμολόγῳ
Celtic they-are-seized and to-the — of-Crete tax-collector
καταμηνύονται. ὁ δὲ ᾑρεῖτο μὲν τοὺς ἄνδρας ἐκσῶσαι
are-denounced he and chose indeed the men to-save
καὶ τῆς νήσου ἀρτεμέας ἐκπέμψαι, ἄλφιτα αὐτοῖς
and from-the island safe to-send-off barley-meal for-them
ἐπισιτισάμενος καὶ οἶνον ὑδρευσάμενος καὶ τἆλλα τὰ
having-provisioned and wine having-drawn and the-other(-things) the
πρὸς τὸν πλοῦν ἐπιτήδεια χορηγήσας, οὐκ ἔχων δ' ὅπως
for the voyage suitable having-supplied not having and how
περανεῖ τὰ κατὰ σκοπὸν (καταφανεῖς γὰρ ἤδη
he-will-accomplish the(-things) according-to aim conspicuous for already
τοῖς ἅπασιν ἐγεγόνεισαν) δῆλα τίθησιν Ἀνδρονίκῳ τὰ
to-the all they-had-become plain makes to-Andronikos the(-things)
κατὰ τούτους τοὺς τάλανας Κομνηνούς. καὶ οὗτος
about these the wretched Komnenoi and this(-man)
μισοφαὴς ὢν καὶ ταῖς τῶν ἀνδρῶν κόραις ἀκορέστως
light-hating being and to-the of-the men pupils insatiably
ἀντικαθήμενος τοῦ φωτὸς τούτους ἀποστερεῖ.
opposed of-the light them deprives
Τότε δ' οὖν Ἀνδρόνικος θείαν ἐπισκοπὴν τὸν τοῦ
then and therefore Andronikos (a)-divine visitation the —
Βατάτζη θάνατον ἡγησάμενος, καὶ προστιθεὶς ταῖς
of-Vatatzes death having-considered and adding to-the

λοιπαῖς ἑαυτοῦ δολοφροσύναις καὶ ἕτερον τοῦ τρόπου
remaining his-own deceits also another of-the character
προκάλυμμα, στεφθῆναι αὐτοκράτορα εἰσηγεῖται τὸν
cloak to-be-crowned autocrat proposes the
βασιλέα Ἀλέξιον. καὶ δὴ ἐπὶ τῶν ὤμων ἄρας αὐτὸν
emperor Alexios and indeed on the shoulders having-raised him
καὶ μετὰ δακρύων θερμῶν εἰς τὸν τῆς μεγάλης ἐκκλησίας
and with tears hot to the of-the great church
ἀνακομίσας ἀνάσταθμον ἐπὶ μάρτυσι μυριάσι πολλαῖς
having-carried-up ambo before witnesses ten-thousands many
πλήθους ἀστυκοῦ καὶ ἀλλοίου, καὶ πάλιν ὁμοίως ἐκεῖθεν
of-(the)-multitude of-the-city and of-other and again likewise thence
κατενεγκών, ἔδοξε φιλοστοργότερος εἶναι πατρὸς καὶ
having-brought-down seemed more-affectionate to-be than-(a)-father and
χεὶρ δεξιὰ ἐπιστῆναι τῷ νεαρῷ τῆς βασιλείας ὄρπηκι. ὁ
(a)-hand right to-stand-by the young of-the empire shoot he
δὲ τὸ τοῦ Δαβὶδ ἄντικρυς διδοὺς πέρατι ὅ φησιν
and the(-word) — of-David outright giving to-fulfillment which says
„ἐπάρας κατέρραξέ με," διενοεῖτο ταῦτα καὶ ἐπετέλει.
having-lifted-up he-dashed me thought these(-things) and accomplished

XVII · THE DEATH OF THE EMPRESS

Andronikos turns on the boy's mother, rousing the people against her and forcing the patriarch to consent to her removal. When the judges Tornikes, Monasteriotes, and Patrenos ask whether the inquiry is the emperor's will, he has them assaulted. The magnates conspire: Andronikos Angelos with his sons, the grand duke Kontostephanos with his, and the logothete Basil Kamateros. The plot is discovered; Angelos escapes in a skiff, while Kontostephanos, four of his sons, and Kamateros are blinded. The empress is charged with urging Bela of Hungary to attack, imprisoned, and condemned; the boy signs her sentence. Andronikos' son Manuel and the sebastos George, his wife's brother, refuse to take part, but Tripsychos and the eunuch Pterygionites see to her strangling, and she is buried in the sand of the shore.

τῷ τοι καὶ πάντας ἐκποδὼν θέσθαι προθυμηθεὶς
for-that surely also all out-of-the-way to-put having-been-eager
διεξῆγεν ὡς ᾑρεῖτο τὰ κατὰ τὴν βασιλείαν πράγματα,
he-managed as he-chose the(-things) in the empire affairs
τῶν ὅλων κύριος καθεστώς. καὶ πρῶτα μὲν τὴν τοῦ
of-the whole lord having-become and first indeed the of-the
βασιλέως μητέρα τοῦ υἱοῦ καὶ βασιλέως ἀποστῆσαι
emperor mother from-the son and emperor to-remove
βουλόμενος, οὐκ ἔληγεν αὐτῆς καταβοώμενος καὶ τὸν
wishing not he-ceased against-her crying-out and the(-one)
ἀπονοστοῦντα πλαττόμενος, φάσκων ἀντικαθίστασθαί οἱ
going-away feigning saying to-be-set-against him
ταυτηνὶ προδηλότατα καὶ πρὸς πᾶσαν πρᾶξιν καὶ μηχανὴν
she most-plainly and to every act and device
τῷ κοινῷ τῆς πολιτείας καὶ τῷ βασιλεῖ συνοισοῦσαν
for-the common of-the state and for-the emperor going-to-profit
ἀντιπολιτεύεσθαι, καὶ τὸν δῆμον εἰς τὰς κατ᾽ αὐτῆς
to-oppose-in-politics and the people to the against her
ἐξεκύμαινεν ὕβρεις, ὡς πολλάκις εἰς τὸ ἱερὸν ἀρχεῖον
he-swelled insults so-that often to the holy office
ἐκδημαγωγηθέντα συναθροισθῆναι, καὶ πρὸς τὴν κατὰ
having-been-demagogued to-be-gathered and for the against
τῆς δεσποίνης σκέψιν τε καὶ προβούλευσιν ἐξαρπάσαι
the empress examination both and pre-deliberation to-snatch
καὶ μὴ ἑκόντα τὸν πατριάρχην τὸν πάνυ τὸν Θεοδόσιον,
even not willing the patriarch the very — Theodosios
καὶ παραβιάσασθαι κἀκεῖνον εὐδοκῆσαι δι᾽ ὑπομνήματος
and to-force also-him to-consent through (a)-memorandum
τὴν ἐκ μέσου ταύτης μετάστασιν καὶ τὴν ἐκ τῶν
the from (the)-middle her removal and the from the
βασιλείων ἄπαρσιν. τάχα δ᾽ ἂν καὶ τῶν γενείων αὐτοῦ
palace departure perhaps and — also the beard his

ἐπελάβοντο τῶν ἀγοραίων οἱ κυνογνώμονες, παρ᾽
they-would-have-seized of-the marketmen the dog-minded at
οὐδὲν τὴν ἐμπρέπουσαν ἐκείνῳ θέμενοι ὁσιότητα, εἰ μὴ
nothing the befitting him having-set holiness if not
κατένευσε πρὸς τὰ παρ᾽ Ἀνδρονίκου αἰτούμενα, ἐπὶ
he-had-nodded to the(-things) by Andronikos asked for
τὸ εὖ διατιθεὶς τὴν τοῦ κινδύνου σφοδρότητα. μικροῦ
the well arranging the of-the danger violence by-little
δὲ ἐδέησε κινδυνεῦσαι περὶ τὸ ζῆν κἀκ τῶν τοῦ Βήλου
and it-lacked to-run-risk about the living and-of the — of-Velum
κριτῶν τὸν Τορνίκην Δημήτριον, τὸν Μοναστηριώτην
judges — Tornikes Demetrios — Monasteriotes
Λέοντα καὶ Κωνσταντῖνον τὸν Πατρηνόν, οὔπω τῷ
Leo and Constantine the Patrenos not-yet in-the
κύκλῳ ἐγγραφέντας τῶν Ἀνδρονίκῳ προσθεμένων,
circle enrolled of-the(-ones) to-Andronikos attached
μηδὲ πρὸς πᾶν ἐράσμιον ἐκείνῳ δουλογραφηθέντας
nor to every(-thing) lovely to-him enslaved-by-writing
τρανότερον καὶ τὸ γόνυ βαθέως κάμψαντας. οἱ μὲν γὰρ
more-clearly and the knee deeply having-bent they indeed for
ἀπαιτούμενοι τὸ παριστάμενον εἰπεῖν πρὸς τὰ
being-asked the(-thing) occurring to-say about the(-things)
κατὰ τῆς δεσποίνης εἰσαγόμενα ἐθέλειν πρώτως ἔφασαν
against the empress brought-in to-wish first said
μαθεῖν εἰ ὁ σύλλογος ἐκεῖνος καὶ ἡ συνέλευσις καὶ
to-learn whether the assembly that and the meeting and
ἡ περὶ τῶν προκειμένων ἐξέτασις κατὰ γνώμην
the about the(-things) set-forth examination by (the)-mind
γίνεται τοῦ κρατοῦντος καὶ ὁρισμόν· ὁ δ᾽ Ἀνδρόνικος
happens of-the ruler and decree — and Andronikos
ὡς βουκέντρῳ τῷ λόγῳ τούτῳ τρωθεὶς „οὗτοί εἰσιν"
as by-(an)-ox-goad by-the word this wounded these are

ἔφησεν „οἱ τὸν πρωτοσεβαστὸν ἐνάγοντες εἰς τὸ τὰ
he-said the(-ones) the protosebastos urging to the the
ἄτοπα δρᾶν· συλλάβετε αὐτούς.” καὶ τὸ ἀπὸ
outrageous(-things) to-do seize them and the(-time) from
τοῦδε οἱ μὲν δορυφόροι τὰ ἐπὶ τῶν ὤμων ἑτερόθηκτα
this the indeed bodyguards the on the shoulders single-edged
ξίφη ὡς καθιξόμενοι κατήνεγκαν, ὁ δὲ δῆμος τῇδέ
swords as going-to-strike brought-down the and people this-way
τε κἀκεῖσε τῶν χλαμύδων λαβόμενοι περιέφερον τοὺς
both and-that-way the cloaks having-taken-hold carried-about the
ἄνδρας μεθ’ ὕβρεως, ὡς μόλις ἐκφυγεῖν τὸ θανεῖν. τοῦτο
men with outrage so-that barely to-escape the dying this
δ’ ἀνύσας Ἀνδρόνικος τοῖς μεγιστᾶσι μετέπειτα
and having-accomplished Andronikos to-the magnates afterward
ἐπεφύετο. οἱ δὲ ὡς οὐκ ἀνεκτὰ τὰ τοιαῦτα ἔργα
clung they and as not bearable the such deeds
ὑφορώμενοι καὶ τὴν Κυκλώπειον ἄντικρυς πρὸ ὀφθαλμῶν
suspecting and the Cyclopean outright before eyes
ἔχοντες καταθοίνησιν, ἀλλήλοις πίστεις δόντες τε καὶ
having devouring to-one-another pledges having-given both and
λαβόντες, καὶ τὴν ὁμόνοιαν κρατυνάμενοι καὶ ὅρκοις τὸ
having-taken and the concord having-strengthened and with-oaths the
ὁμόπνουν φρικώδεσιν ἐμπεδώσαντες, συνέθεντο μὴ δοῦναι
conspiracy dreadful having-confirmed covenanted not to-give
ὕπνον τοῖς ὀφθαλμοῖς, μηδὲ τοῖς κροτάφοις, εἰ δυνατόν,
sleep to-the eyes nor to-the temples if possible
παρασχέσθαι ἀνάπαυσιν, ἕως οὗ θανεῖται Ἀνδρόνικος καὶ τὸ
to-provide rest until — will-die Andronikos and the
τούτου αἷμα πρὸ τοῦ τῆς κόγχης χρώσειεν αὐτόν, ἐξ ἧς
his blood before the of-the purple-shell should-dye him from which
βάψαι τὴν οἰκείαν στολὴν ἱμειρόμενος πᾶσαν τὴν βασίλειον
to-dye the own robe longing all the imperial

φυταλιὰν ἐκριζοῖ καὶ ὡς μονιὸς διαλυμαίνεται ἄγριος.
plantation he-uproots and as (a)-solitary(-boar) ravages wild
ἦσαν δὲ οὕτω συνομοσάμενοι Ἀνδρόνικος ὁ υἱὸς τοῦ
were and thus having-conspired Andronikos the son —
Ἀγγέλου Κωνσταντίνου, ὁ μέγας δοὺξ Ἀνδρόνικος ὁ
of-Angelos Constantine the grand duke Andronikos the
Κοντοστέφανος, καὶ οἱ τούτων υἱεῖς ἑκκαίδεκα ὄντες,
Kontostephanos and the their sons sixteen being
πάντες ἀκμαῖοι καὶ ῥομφαίαν ἐσπασμένοι πρὸς πόλεμον,
all vigorous and (a)-sword having-drawn for war
ὁ τοῦ δρόμου λογοθέτης ὁ Καματηρὸς Βασίλειος, καὶ
the of-the course logothete — Kamateros Basil and
συχνοὶ ἕτεροι κατὰ γένος αὐτοῖς συναπτόμενοι καὶ ἄλλως
many others by family to-them joined and otherwise
τὸ ἐπίσημον ἔχοντες. ἀλλ᾽ οὐκ ἔλαθε τὸ σύστρεμμα
the distinction having but not escaped the conspiracy
τὸν Ἀνδρόνικον, οὐκ εἰς τέλος ἄφθεγκτον καὶ κρύφιον
— Andronikos not to (the)-end unspoken and secret
διαμεῖναν. διὸ καὶ αὐτίκα ὅγε κατὰ τοῦ υἱοῦ τοῦ Ἀγγέλου
having-remained wherefore also at-once he against the son — of-Angelos
ὁρμήσας, μικρὸν ἄποθεν αὐλιζομένου τῶν χερσαίων
having-rushed (a)-little apart encamping from-the land
πυλῶν τῆς πόλεως τηνικαῦτα, ἐκεῖνον μὲν φυγάδα μετὰ
gates of-the city then him indeed (a)-fugitive with
τῶν υἱέων τίθησιν, ἀσπασίως διεκδράντα τὴν σαγήνην ἣν
the sons makes gladly having-escaped the drag-net which
οἱ ὁπλοφόροι Ἀνδρονίκου αὐτῷ διεπέτασαν, ἐκ τοῦ μόλις
the armed-men of-Andronikos for-him spread from the barely
ἀκατίῳ περιτυχεῖν ἀμφορέων πλήρει κενῶν, καὶ αὐτὰ μὲν
on-(a)-skiff to-have-chanced of-amphoras full empty and them indeed
ἐκτινάξαι εἰς θάλασσαν ὅσα καὶ ἀμφιβλήστρου σκύβαλα,
to-shake-out into (the)-sea just-as also of-(a)-net refuse

αὐτὸν δ᾽ ἐν τούτῳ διεκπλεῦσαι μετὰ τῶν παίδων μόλις
him and in this to-sail-through with the children barely
τὸν κίνδυνον· τὸν δέ γε Κοντοστέφανον συνειληφὼς
the danger — and at-least Kontostephanos having-seized
καὶ τέσσαρας τῶν παίδων καὶ τὸν Καματηρὸν Βασίλειον
and four of-the children and — Kamateros Basil
πάντας ἐξομματοῖ, πρὸς δὲ καὶ ἄλλους, ὁπόσους οὐ
all blinds besides and also others as-many-as not
μετ᾽ ἔλεγχον προφανῆ ἀλλὰ κατὰ φήμην ψιλήν, καὶ
after proof evident but by report bare and
ταύτην ἀμφίλογον, ἠκηκόει κοινωνῆσαι τοῖς εἰρημένοις
this disputed he-had-heard to-have-shared in-the mentioned
τοῦ σκέμματος. οὕτω τοίνυν θύσας καὶ ἀπολέσας
of-the plan thus therefore having-sacrificed and having-destroyed
Ἀνδρόνικος οὓς πάλαι μὲν συλλαβεῖν ὤδινεν,
Andronikos whom long-ago indeed to-seize he-was-in-labor-with
εἰς καιρὸν δ᾽ ἀνεβάλλετο τὴν ἐπίθεσιν, τινὰς δὲ καὶ
to (a)-time and he-put-off the attack some and also
δεσμωτηρίοις παραδούς, τῇ ὑπερορίᾳ δὲ καταδικάσας
to-prisons having-handed-over to-the exile and having-condemned
ἑτέρους καὶ ἄλλους ἄλλως διαφθείρας, ὁρῶν δὲ καὶ ὅσοι
others and others otherwise having-destroyed seeing and also as-many-as
περ κατελείφθησαν εὔγνωστοί τε καὶ εὐαρίθμητοι, εἰς
— were-left well-known both and few-to-count to
τοὔμπαλιν ἰέναι πρώην τοῖς πλείοσιν ἐπιχειροῦντες, κατὰ
the-reverse to-go formerly in-the more attempting like
τοὺς πλανωμένους τῶν ἀστέρων κἀκείνους μεταθεμένους
the wandering of-the stars and-those having-changed
τὰς γνώμας καὶ τὸν αὐχένα παρεχομένους Ἀνδρονίκῳ
the minds and the neck providing for-Andronikos
πατεῖν καὶ τῷ ἐκείνου ἅμα συμφερομένους ἄξονι, τὸν
to-tread and with-the his at-once being-borne axle the

τῆς δεσποίνης ἐπέσπευδεν ὄλεθρον, καὶ διαφόρους αἰτίας
of-the empress hastened destruction and various charges
ξυνθέμενος τέλος καὶ προδοσίας κρίνει τὴν ἄνθρωπον,
having-compiled (at-the)-end also of-treason judges the woman
συναγαγὼν τὸ ἐκείνῳ φίλον συνέδριον καὶ τῶν δικαστῶν
having-assembled the to-him dear council and of-the judges
οἳ κατακρινεῖν, οὐ κρινεῖν τὴν ἐν γυναιξὶ ταλαίπωρον
who to-condemn not to-judge the among women wretched(-one)
ἤμελλον. καὶ ἡ μὲν ὡς τὸν ἐπ᾽ ἀδελφῇ γαμβρὸν τὸν ῥῆγα
were-about and she indeed as the by sister brother-in-law the king
Οὐγγρίας τὸν Βελᾶν ἀνασείουσα καὶ πορθεῖν τὰ κατὰ
of-Hungary — Bela stirring-up and to-sack the(-places) about
Βρανίτζοβαν καὶ Βελάγραδα γραφαῖς ἐνάγουσα καὶ ἁδραῖς
Branitzova and Belgrade by-letters urging and with-stout
ἐπαίρουσα ὑποσχέσεσιν, εἰς τὴν τοῦ ἁγίου Διομήδους
raising promises to the of-the holy Diomedes
μονὴν περί τινα ἐκεῖ που στενωτάτην οὖσαν εἱρκτὴν
monastery about some there somewhere very-narrow being prison
ἀκλεῶς ἀπάγεται, ἔνθα δὴ καὶ ἐφ᾽ ἱκανὸν παρὰ τῶν
ingloriously is-led-away where indeed also for sufficient(-time) by the
φυλάκων ἐρεσχελούντων παροινουμένη καὶ λιμῷ καὶ δίψει
guards mocking being-insulted and by-famine and thirst
τετρυχωμένη τὸν σφαγέα διηνεκῶς ἐφαντάζετο ἐκ δεξιῶν
worn-out the slayer continually imagined on (the)-right
ἑστῶτα τομώτατον. ὁ δ᾽ Ἀνδρόνικος οὐδὲ βραχὺ γοῦν
standing sharpest — and Andronikos not-even (a)-little at-any-rate
τοῦ ἀγριαίνειν ὑποκεχάλαστο, ἀλλὰ τὸ τοῦ Δαβίδ,
from-the being-savage had-slackened but the(-word) — of-David
πόνον καὶ θυμὸν κατανοῶν καὶ παραδοῦναι σπεύδων αὐτὴν
toil and wrath considering and to-hand-over hastening her
εἰς θάνατον, καιρὸς οὔπω πολὺς καὶ τοῖς ζῶσιν ὅτι
to death time not-yet much and with-the living that

σύνεστι δυσχεραίνων ἀθροίζει πάλιν τοὺς τῇ ἀδικίᾳ
she-is-together being-vexed he-gathers again the(-ones) to-the injustice
βραβεύοντας δικαστάς, καὶ ὧν ἡ δεξιὰ δεξιὰ
awarding judges and whose the right(-hand) (is-the)-right(-hand)
ἀδικίας, καὶ ἐρώτησιν προτεινάμενος ὁποία τις ἐκ
of-injustice and (a)-question having-put-forward what-kind some from
τῶν νόμων ἐπήρτηται ποινὴ τοῖς προδόταις πόλεων καὶ
the laws hangs penalty on-the betrayers of-cities and
χωρῶν, καὶ ἀπόφασιν ἔγγραφον θανάτῳ ὑποδικάζουσαν
lands and (a)-sentence written to-death condemning
τοὺς οὕτω δρῶντας ἀνὰ χεῖρας δεξάμενος, ἦν τὸ
the(-ones) thus doing into hands having-received he-was the(-time)
ἐκ τούτου κατὰ τῆς ἀνάσσης ἄσχετος τὴν ὁρμήν. τοίνυν
from this against the queen unchecked in-the rush therefore
καὶ τὴν φωνὴν ὑψωσάντων καὶ διατόρως βοησάντων τῶν
and the voice having-raised and piercingly having-shouted of-the
παρανόμων ἐκείνων ψηφηφόρων δεῖν ἐκ τοῦ βίου
lawless those voters (it-is)-needful from the life
γενέσθαι τὴν δύσποτμον ἐκείνην ἐν βασιλίσσαις, χάρτης
to-become(-gone) the ill-fated that among queens (a)-paper
εὐθὺς παρὰ τοῦ παιδὸς καὶ βασιλέως ὑποσημαίνεται,
at-once by the child and emperor is-signed
ἀτεχνῶς ψεκάδι τοῦ μητρικοῦ διεκτυπούμενος αἵματος,
simply with-(a)-drop of-the maternal stamped blood
ταύτην μετατιθεὶς τῆς ζωῆς. ἐκλέγονται τοίνυν εἰς τὸ
her removing from-the life are-chosen therefore for the
καθυπουργῆσαι τῇ μυσαρᾷ ταύτῃ καὶ ἀνοσίῳ πράξει ὁ τοῦ
to-serve-in the abominable this and unholy deed the —
Ἀνδρονίκου πρωτότοκος υἱὸς Μανουὴλ καὶ ὁ σεβαστὸς
of-Andronikos first-born son Manuel and the sebastos
Γεώργιος ὁ τῆς τοῦ Ἀνδρονίκου γυναικὸς ἀδελφός. ἄμφω
George the of-the — of-Andronikos wife brother both

δὲ καὶ πρὸς μόνην ἀπεπήδησαν τὴν ἐπιλογὴν ταύτην
and even at only leapt-away the choice this
δυσχεράναντες, καὶ τὸ τοῦ βασιλέως ἐξεφαύλισαν δόγμα,
having-been-vexed and the of-the emperor disparaged decree
εἰπόντες μήτε πρότερον τῇ ἀναιρέσει τῆς βασιλίδος
having-said neither formerly to-the killing of-the empress
συνευδοκῆσαι ὅλως, ἀλλὰ τὰς χεῖρας φέρειν ἁγνὰς τοῦ
to-have-consented at-all but the hands to-bear pure of-the
μιάσματος, καὶ νῦν δὲ πολλῷ πλέον μὴ ἀνέξεσθαι αὐτῶν
pollution and now too by-much more not to-endure themselves
θεωμένων σῶμα διεκσπᾶσθαι δίκαιον, κἂν Ἀνδρόνικος
watching (a)-body to-be-torn-apart just and Andronikos
ὡς σκηπτῷ τοῖς λεγομένοις τούτοις πληγείς,
as by-(a)-thunderbolt by-the(-words) said these struck
παρὰ δόξαν πᾶσαν ἀπηντηκόσι, τάς τε τοῦ γενείου
beyond expectation all having-come the both of-the beard
τρίχας πυκνὰ περιείλισσε τοῖς δακτύλοις, πῦρ τῶν
hairs often twisted with-the fingers fire from-the
ὀμμάτων βλέπων, καὶ τὸ κάρη κλίνων τε καὶ ἀνάγων
eyes looking and the head inclining both and raising
ἑαυτὸν ἱκανῶς ἐταλάνισε καὶ μέγ᾽ ὤχθησε πολλάκις οἷς
himself sufficiently pitied and greatly was-vexed often that
οὐκ εἶχε τὸ φίλιον αἱμοχαρὲς καὶ πρὸς φονουργίαν
not he-had the friendly(-circle) blood-rejoicing and to murder
μόνῳ ἐκπυρούμενον νεύματι. τότε μὲν οὖν τῆς ὁρμῆς
at-(a)-sole being-inflamed nod then indeed then from-the rush
ἀνασειρασθεὶς ὡσεὶ καὶ ἵππος θερμὸς καὶ δυσκάθεκτος, ἢ
having-been-reined-back as also (a)-horse hot and hard-to-hold or
ὅσα καὶ καπνὸς φλόγα περὶ αὐτὴν εἰληθείς, τὸν οἰκεῖον
just-as also smoke (a)-flame about it rolled the own
ἀποσβέσας μὴ ὑπεξιόντα θυμόν, ὑπερέθετο τὴν ἀναίρεσιν·
having-quenched not going-out wrath put-off the killing

μετὰ δὲ βραχείας ἡμέρας τῷ διὰ πνιγμονῆς ἐλεεινῷ
after and few days to-the through strangling pitiable
μόρῳ ὑποδικάζει τὴν κακοδαίμονα, ἐπιστατησάντων τῷ
fate condemns the wretched(-woman) having-presided-over the
ὑπουργήματι τοῦ Τριψύχου Κωνσταντίνου, ὃς τὴν τῆς
service — Tripsychos Constantine who the of-the
ἑταιρειαρχείας ζώνην εἶχε, καὶ τοῦ ἐκτομίου Πτερυγιονίτου,
hetaireiarchy belt had and the eunuch Pterygionites
ὃς διεθρυλλεῖτο παρὰ πᾶσι καὶ τὸν τῆς πορφυρογεννήτου
who was-noised-about among all also the of-the purple-born
Μαρίας διὰ φαρμάκου κακουργῆσαι θάνατον. καὶ τὴν
Maria through poison to-have-wickedly-wrought death and her
μέν, τὸ γλυκερὸν φάος καὶ καλὸν ὅραμα ἀνθρώποις, εἶχεν
indeed the sweet light and fair sight to-men had
ἡ ἐκεῖ που ἀκτὴ τῇ ψάμμῳ καταχωσθεῖσαν. ἥλιε
the there somewhere shore in-the sand buried O-sun
τοῦ μιάσματος, καὶ λόγε θεοῦ προάναρχε, τῆς ὑπὲρ
the pollution and O-Word of-God beginning-before-beginning of-the beyond
κατάληψιν σῆς ἀνοχῆς!
comprehension your forbearance

XVIII · THE CROWNING OF ANDRONIKOS AND THE DEATH OF ALEXIOS

In September Andronikos' faction, citing the revolts of Nicaea and Prousa, proposes to the council that he reign with the boy, and he is acclaimed; his flatterers dance in the house of Michaelitzes. In the great church he is crowned before Alexios and swears at the mysteries to protect him. Soon the council votes the boy a private man under Homer's "let there be one lord," and condemns him to death. Stephen Hagiochristophorites, Constantine Tripsychos, and Theodore Dadibrenos strangle him with a bowstring. Andronikos kicks the body and mocks the dead parents; the head is thrown into a pit, and the body, sealed in lead, is sunk in the sea.

Ὁ δ' Ἀνδρόνικος ἐπὶ τούτοις ἐσκίρτα, πῶς ἂν εἴποι
— and Andronikos at these(-things) leapt how — would-say
τις; καὶ διεχεῖτο τὸ τῆς ψυχῆς ἡδόμενον, τοῦ γένους
anyone and was-cheered the of-the soul pleased(-part) the race
ἐκτριβομένου τοῦ Μανουὴλ καὶ δενδροτομουμένου κήπου
being-worn-out — of-Manuel and being-felled garden
τοῦ βασιλείου, ὡς μόνος οἰκήσων τὴν ὑπὸ Ῥωμαίους
the imperial as alone going-to-inhabit the(-land) under (the)-Romans
καὶ τῶν ταύτης σκήπτρων ἐπιληψόμενος ἀδεῶς. ἐνστάντος
and of-the its scepters going-to-take-hold fearlessly having-come
δὲ τοῦ Σεπτεμβρίου μηνὸς τῆς δευτέρας ἰνδικτιῶνος
and the September month of-the second indiction
τοῦ ἑξακισχιλιοστοῦ ἑξακοσιοστοῦ ἔτους τῇ ἀναρρήσει
of-the six-thousandth six-hundredth year to-the proclamation
ἐπιβάλλει. οὐκοῦν οἱ ἐκ τῆς φαύλης συμμορίας,
he-sets-about therefore the(-men) from the base company
κατὰ γνώμην δήπουθεν Ἀνδρονίκου, κἂν περιέκρυπτε τὴν
by (the)-mind surely of-Andronikos even-if he-hid the
ἑαυτοῦ βούλησιν, λόγον εἰσήνεγκαν τῷ συνεδρίῳ περὶ
his-own will (a)-proposal brought-in to-the council about
τῆς νεοχμωθείσης τοῖς Βιθυνοῖς ἐπαναστάσεως καὶ τῆς
the newly-made by-the Bithynians revolt and the
ἐντὸς τῆς πόλεως Νικαίας παραδοχῆς Ἰσαακίου τοῦ ἐξ
inside the city Nicaea reception of-Isaac the(-one) from
Ἀγγέλων καὶ Θεοδώρου τοῦ Καντακουζηνοῦ, ἀλλὰ δὴ
(the)-Angeloi and Theodore the Kantakouzenos but indeed
καὶ ὅσα κακουργοῦσιν οἱ Προυσαεῖς, εἰσοικισάμενοι
also as-many-as do-evil the Prousans having-received
Θεόδωρον τὸν Ἄγγελον καὶ ταὐτὰ τοῖς Νικαεῦσι
Theodore the Angelos and the-same(-things) as-the Nicaeans
φρονήσαντες. καὶ φάμενοι μὴ οὐκ ἂν ἄλλως ἠρεμήσειν τοὺς
having-minded and saying not not — otherwise would-be-quiet the

στασιώδεις, εἰ μὴ Ἀνδρόνικος βασιλεύσειεν ὁ διὰ
seditious if not Andronikos should-reign the(-one) because-of
τὴν ὑπαργυρίζουσαν τῷ χρόνῳ τρίχα τῶν νέων ἔχων
the silvering with-the time hair than-the young being-able
λέξαι σοφώτερα, καὶ ἐπὶ θρόνου καθίσας τοῦ διαλίθου καὶ
to-say wiser(-things) and on (the)-throne having-sat the jeweled and
τῇ βασιλείῳ ταινίᾳ διαδηθεὶς συναυτοκρατοροίη τῷ
with-the imperial fillet crowned should-be-co-autocrat with-the
παναφήλικι βασιλεῖ καὶ διορᾷη τὸ γενησόμενον καὶ
wholly-underage emperor and should-see-through the(-thing) going-to-be and
περατοῖ τὸ πραχθησόμενον μετ' ἰσχύος μείζονος καὶ
should-accomplish the(-thing) going-to-be-done with strength greater and
ἐξουσίας ἀρχικωτέρας, εἶχον εὐθὺς τοὺς περιεστῶτας, καὶ
authority more-princely they-had at-once the(-ones) standing-around and
ὅσοι περ ἐκείνῳ συνήδρευον διὰ γένους λαμπρότητα
as-many-as — with-him sat-in-council through of-family splendor
καὶ ἀξιωμάτων σεμνότητα, ὁμοφώνως ἀνακραγόντας πάλαι
and of-dignities solemnity with-one-voice having-cried-out long-ago
αὐτοῖς εἶναι τὸ προβληθὲν δι' ἐφέσεως, καὶ μηκέτι
for-them to-be the(-thing) put-forward through desire and no-longer
καιρὸν εἶναι τοῦ ἀναδύεσθαι· ἢ γὰρ ἂν καὶ βίαν συμμίξωσι,
time to-be for-the to-hold-back or for — also force they-will-mix
προχωροῦσαν οὐκ ἔχοντες τὴν πειθώ. ἀμέλει καὶ τῆς
advancing not having the persuasion indeed also the
εὐφημίας κατάρχονται, καὶ οὑτωσί πως διατιθέασι τὴν
acclamation they-begin and thus somehow arrange the
ἀνάρρησιν, „Ἀλεξίου καὶ Ἀνδρονίκου μεγάλων βασιλέων
proclamation of-Alexios and Andronikos great emperors
καὶ αὐτοκρατόρων Ῥωμαίων τῶν Κομνηνῶν πολλὰ τὰ
and autocrats of-(the)-Romans the Komnenoi many the
ἔτη" πλατέσι καὶ ἀνεωγόσιν ᾄδοντες στόμασι καὶ μικροῦ
years with-broad and open singing mouths and by-little

διαρρηγνύμενοι ταῖς φωναῖς. διαδοθέντος δὲ τοῦ καλοῦ
bursting with-the voices having-been-spread and the fine
τοῦδε πράγματος τοῖς ἐν τῇ πόλει ἀβελτέροις (οὕτω γὰρ
this affair to-the in the city fools thus for
χρεὼν τὸν Κωνσταντινουπολίτην δῆμον καλεῖν), ὡς
(it-is)-needful the Constantinopolitan people to-call as
μελισσῶν σμήνη τῶν σίμβλων ἀπαναστάντα τὰ πλήθη
of-bees swarms from-the hives having-risen the multitudes
συνείλεκτο ἐκ παντὸς γένους καὶ τέχνης ἁπάσης καὶ
had-gathered from every race and craft all and
πάσης ἡλικίας τῆς συνόδου γεγενημένης, ὅτε καί τις
every age the synod having-happened when also someone
τῶν τοῦ Βήλου κριτῶν (τὸ δὲ ὄνομα ἑκὼν ὑπερβήσομαι)
of-the — of-Velum judges the and name willingly I-shall-pass-over
εἰς τὸ τοῦ ἐπὶ τῶν δεήσεων ὀφφίκιον ἀναβὰς ὡς θεράπων
to the of-the over the petitions office having-risen as servant
Ἀνδρονίκου θερμότατος, καὶ ἄλλος δέ τις πρωτονοτάριος
of-Andronikos hottest and another too someone protonotarios
τιμηθεὶς γλωττογάστωρ καὶ μηδενὸς ἀγενέστερος τῆς
honored glutton-of-tongue and than-nobody more-ignoble of-the
τυραννίδος ὑποδρηστήρ, τῆς κατὰ τὴν ἀνάρρησιν τοῦ
tyranny attendant the about the proclamation —
Ἀνδρονίκου φήμης ἁπανταχῇ διατρεχούσης καὶ αὐτῶν
of-Andronikos report everywhere running-through and of-themselves
δὲ τῶν φαυλοκολάκων τὰ ὦτα περικτυπησάσης, ὥσπερ
too the base-flatterers the ears having-resounded-around as
ἐν ἑνὶ πνεύματι τὸ τυραννεῖον καταλαβόντες καθ' ὃ
in one breath the tyrant's-house having-reached in which
ἐτελεταρχεῖτο τάδε τὰ ἄθεσμα (τοῦτο δὲ ἦν ὁ τοῦ
were-celebrated these the lawless(-things) this and was the —
Μιχαηλίτζη λεγόμενος οἶκος), τὰ συγκλητικῶς ἐξυφασμένα
of-Michaelitzes called house the senatorially woven

τῶν κεφαλῶν ἐξενεγκόντες καλύμματα καὶ τῶν κατὰ
of-the heads having-brought-out coverings and of-the on
νώτου κεχυμένων λευκολίνων λαβόμενοι διείλουν αὐτὰ
(the)-back poured white-linens having-taken-hold twisted them
ὡς σφαίρας, χοροστατοῦντες τοῖς ἐκ τριόδων
as balls leading-the-dance to-the(-ones) from (the)-crossroads
καὶ τῆς τότε τελετῆς προεξάρχοντες, πρὸς μέλος τε
and of-the then rite leading to (a)-melody both
κεκλασμένον μετερύθμιζον τὴν φωνήν, καὶ πανικῶς
broken changed-the-rhythm-of the voice and Pan-like
ἐξαλλόμενοι καὶ τὰς χεῖρας ὡς ἐς κρότον ξυμβάλλοντες
leaping and the hands as for applause striking-together
τὼ πόδε ὑπεσάλευον, καὶ κατὰ μέσον ἐδίνευον, μολπῇ
the two-feet swayed and in middle whirled with-song
τ' ἰϋγμῷ τε τὴν γῆν ἐκρότουν ὑπορχούμενοι. ὦ τῆς
both with-shouting and the ground struck dancing O the
ἀναιδείας καὶ τῆς μικρογνώμονος φρενὸς καὶ κουφότητος!
shamelessness and the small-minded mind and lightness
τοῦ δ' Ἀνδρονίκου καταβάντος ἀπὸ τοῦ τυραννείου ἐς
— and Andronikos having-gone-down from the tyrant's-house to
τὸ ἐν Βλαχέρναις βασίλειον, καὶ γενομένου κατὰ τὸν
the in Blachernai palace and having-come into the
ἐντὸς τούτου ὑψηρεφῆ δόμον ὃς Πολύτιμος λέγεται,
within it high-roofed house which Polytimos is-called
ἐφίσταται καὶ ὁ βασιλεὺς Ἀλέξιος ἐκ τῶν ἔξωθεν, ὁμοῦ
arrives also the emperor Alexios from the outside at-once
παιάνων τε καὶ στεναγμάτων (οὐ γὰρ πάντες τῷ καιρῷ
paeans both and groans not for all by-the time
παρεσύρησαν) εὑρὼν μεστὰ τὰ ἀνάκτορα, καὶ αὐτὸν
were-swept-along having-found full the palace and himself
Ἀνδρόνικον ὡς βασιλέα σχεδὸν παρὰ πάντων καταλαβὼν
Andronikos as emperor almost by all having-found

εὐφημούμενον. ἑκὼν τοίνυν ἀέκοντί γε θυμῷ τοῖς
acclaimed willing therefore with-unwilling at-least spirit to-the(-things)
τελουμένοις ἐπευδοκήσας ἐκολάκευε κἀκεῖνος ἐν τοῖς
performed having-consented flattered also-he among the
λοιποῖς τὸ γερόντιον, Ἀνδρόνικον εἰς τὸ συμβασιλεύειν
rest the old-man Andronikos to the co-reigning
ἐπεγείρων, καὶ προθυμοποιῶν εἰς τὸ ἐνεστὸς ἔργον τὸν
rousing and making-eager for the present deed the(-one)
ἀκρατῶς εἰς τοῦτο πάλαι φερόμενον. τὸ δὲ τῆς Ἀνδρονίκου
intemperately to this long-ago borne the and of-the of-Andronikos
φατρίας θερμότερον καὶ ἀκκιζόμενον Ἀνδρόνικον καὶ
faction more-hot and coy Andronikos and
τὴν συνεδρίαν εἰρωνευόμενον ἀμφοτέραις συσχόντες εἰς
the sitting-with dissembling with-both(-hands) having-held onto
τὴν χρυσόπαστον κλίνην ἐφῆκαν ἐφ' ἧς ὁ βασιλεὺς
the gold-sprinkled couch set on which the emperor
ἵζανεν. ἄλλοι δὲ τὴν καπνηρὰν καὶ πυραμοειδῆ ὀρέαν
sat others and the smoky and pyramid-shaped cap
τῆς κεφαλῆς ἀφελόμενοι πυρσὴν αὐτῷ περιέθεντο, καὶ
from-the head having-taken (a)-red(-one) on-him put and
στολὴν βασιλικὴν ἐνέδυσαν ἕτεροι. τῇ δὲ ὑστεραίᾳ
(a)-robe imperial clothed(-him-in) others on-the and next(-day)
ἐπὶ τῆς μεγάλης ἐκκλησίας ἀρξαμένης τῆς τῶν βασιλέων
in the great church having-begun the of-the emperors
ἀναρρήσεως γίνεσθαι Ἀνδρόνικος ἀνηγορεύετο πρότερον,
proclamation to-happen Andronikos was-proclaimed first
ὁ δὲ Ἀλέξιος ὑπεβέβαστο, μεταπεσούσης τῆς τάξεως. καὶ
— and Alexios was-put-below having-changed the order and
ἡ αἰτία ὡς καλλίστη καὶ εὐπρεπής· οὔ φασι δεῖν τὸν
the cause as finest and seemly not they-say needful the
ἴνφαντα καὶ ἐς μέτρον οὔπω ἡλικίας ἱκόμενον λειογένειον
infant and to measure not-yet of-age having-come smooth-chinned

προαναγορεύεσθαι τοῦ πολιότριχος Ἀνδρονίκου καὶ γεραροῦ
to-be-proclaimed-before the gray-haired Andronikos and venerable
τὸ φρονεῖν καὶ ἅμα πρόσω καὶ ὀπίσω τὸ ὁρᾶν ἔχοντος
in-the thinking and at-once forward and backward the to-see having
τῷ ἐσθλῷ τῆς φύσεως. ἐπεὶ δὲ καὶ αὐτὸς Ἀνδρόνικος
by-the excellence of-the nature when and also himself Andronikos
τὰ ἱερὰ ἐσαφίκετο μέλαθρα στεφθησόμενος, τότε πρώτως
the holy reached halls going-to-be-crowned then first
ὤφθη τοῖς ἀνθρώποις διαχυθεὶς καὶ τὸ τοῦ βλέμματος
was-seen by-the men cheered and the of-the look
ὁ θὴρ μεταθέμενος βλοσυρὸν καὶ τὴν ἐπὶ τὸ κρεῖττον
the beast having-changed grim(-ness) and the to the better
τῶν πραγμάτων ἀλλοίωσιν πολλοῖς τῶν δεομένων
of-the affairs change to-many of-the(-ones) begging
καθυποσχόμενος. ἦν δὲ ταῦτα φενάκη πρόδηλος καὶ
having-promised were and these(-things) (a)-cheat manifest and
ψευδὴς ἐπαγγελία τοῦ ἀπατεῶνος, καὶ τὸ τοῦ προσώπου
false promise of-the deceiver and the of-the face
ἱλαρόν, φιλανθρωπίας παρυφιστῶν ἰσχνότατον ἴνδαλμα
cheerfulness of-humanity setting-up (a)-thinnest image
πρόσκαιρον συσκιάζον τὴν ἔνδοθεν ἀγριότητα. εἰσελθὼν δὲ
temporary shading the inner savagery having-entered and
τὸ ἱερὸν καὶ τελεσθεὶς ὁπόσα τοῖς στεφομένοις
the holy(-place) and having-been-initiated-in as-many-as to-the crowned
εἴθισται ἄναξι, πρόσεισι δεῆσαν τῶν ἀχράντων
customary(-for) lords comes it-having-been-needful of-the undefiled
ἁγιασμῶν μετασχεῖν, καὶ τὸν οὐράνιον ἄρτον δεξάμενος
sanctities to-partake and the heavenly bread having-received
ἐν τῷ ἐγγίζειν τῷ ἐκπώματι τὰς χεῖρας ἀνέσχε, καὶ
in the to-approach the cup the hands raised and
σχηματίσας ἑαυτὸν εἰς παθαινόμενον κατὰ τῶν φρικωδῶν
having-shaped himself into (one)-being-moved by the awful

ἐπόμνυσι μυστηρίων, ἀκροωμένων σχεδὸν ἁπάντων ὅσους
swears mysteries hearing almost all as-many-as
τὸ ἱερὸν συνεῖχεν ἄδυτον, μὴ δι᾽ ἕτερόν τι βασιλεύσειν
the holy held sanctuary not for other anything to-reign
αἱρετίσασθαι ἢ τὸ θελῆσαι βοηθῆσαι τούτῳ καὶ τῷ
to-have-chosen than the to-wish to-help this(-one) and the
τούτου κράτει, δείξας τὸν συνεστῶτα βασιλέα καὶ
his power having-shown the standing-with emperor and
ἀνεψιὸν Ἀλέξιον, ὃν μεθ᾽ ἡμέρας ἀπηγχόνησε καὶ τῷ
nephew Alexios whom after days he-strangled and to-the
τῆς θαλάσσης βυθῷ παρέπεμψεν. ἐξιὼν δὲ τοῦ ἱεροῦ
of-the sea depth sent going-out and from-the holy(-place)
μετὰ δορυφορίας ὡς ἐνῆν μάλιστα λαμπροτέρας καὶ
with bodyguard as was-possible most more-brilliant and
πλείστων ὑπασπιστῶν (τὸ γὰρ δειμαίνειν ἄκρως τοιαῦτα
of-very-many shield-bearers the for to-fear extremely such(-things)
ὑφηγεῖτο ἐκείνῳ) καὶ διελθὼν τὸν ἐν τῇ Χαλκῇ νεὼν
suggested to-him and having-passed-through the in — Chalke temple
τοῦ σωτῆρος Χριστοῦ, τὴν πορείαν ἐπέτεινεν, οὐ βάδην
of-the savior Christ the march he-stretched not at-a-walk
προβαίνων καὶ ἔστιν οὗ ἐμβραδύνων, ὡς ἔθος τοῖς
advancing and it-is where lingering as (is)-custom for-the
θριαμβεύουσιν αὐτοκράτορσιν, ἀλλ᾽ ἀνεὶς τὸν ἵππον
triumphing autocrats but having-let-go the horse
ἐλευθέρῳ ποδὶ πορεύεσθαι. ἦν οὖν τὸ γεγονὸς τοῦτο εἰς
with-free foot to-go was then the event this into
ἀμφίλογον· οἱ μὲν γὰρ δειλίαν τὸ ποιητικὸν αἴτιον
doubt some indeed for cowardice the efficient cause
τοῦ ὁρωμένου ἀπεφοίβαζον, οἱ δὲ ἄλλο τι
of-the(-thing) seen prophesied others and other something
ὑπενόουν. γενόμενος δὲ κατὰ τὸ μέγα παλάτιον καὶ
suspected having-come and to the great palace and

ᾄσας τὰ ἀναγορευτήρια, ἐφ᾽ ἕτερα τρέπει τὸν νοῦν
having-sung the proclamation-songs to other(-things) turns the mind
ἐναγῆ ἔργα. ἐκποδὼν γὰρ θέσθαι τὸν βασιλέα βουληθεὶς
accursed deeds out-of-the-way for to-put the emperor having-wished
Ἀλέξιον, τὴν φίλιον καὶ πάλιν ἀθροίζει πνύκα καὶ
Alexios the friendly(-circle) also again gathers (a)-pnyx and
τὴν ἑταιρείαν ἀγείρει τὴν ἐκείνου συνοργιάζουσαν
the fellowship collects the his celebrating-the-orgies-with(-him)
τὰ μὴ ὅσια. καὶ τοίνυν τὸ Ὁμήρειον ἔπος ἅπαντες
the(-things) not holy and therefore the Homeric verse all
φωνήσαντες, ὃ διέξεισιν „οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς
having-uttered which goes-through not good (is)-many-lordship one
κοίρανος ἔστω, εἷς βασιλεύς,” καὶ ὡς ἀετοῦ γῆρας
lord let-there-be one king and as of-(an)-eagle old-age
κορύδου νεότης, ψηφίζονται ἰδιωτεῦσαι τὸν βασιλέα
of-(a)-lark youth they-vote to-be-a-private-man the emperor
Ἀλέξιον, οὐκέτι λόγων οἰκονομίας ἀδήλων τοῖς πολλοῖς
Alexios no-longer of-words of-economy unclear to-the many
μεμνημένοι παιδοκομίας τε καὶ διαμονῆς τοῦ κράτους
remembering of-child-rearing both and of-continuance of-the power
καλλίονος, ταῦτα δὴ τὰ χθές τε καὶ πρώην ἐπὶ
finer these indeed the yesterday both and the-day-before at
πολυανθρώπων συνελεύσεων προβαλλόμενα καὶ τοῖς
crowded meetings put-forward and to-the(-ones)
ἐρωτῶσι τὴν αἰτίαν τῶν γινομένων εἰς ἀπολογίαν
asking the cause of-the(-things) happening for defense
προκείμενα, εἴ τις τέως παροικῶν ἀτεχνῶς ἐν τῇ
set-forth if anyone meanwhile sojourning simply in the
λαμπροτάτῃ πόλει τοῦ Κωνσταντίνου οὐκ ἦν εἰδὼς τὰ
most-brilliant city — of-Constantine not was knowing the(-things)
γινόμενα καὶ τὸν λόγον ὅλως ἠγνοηκὼς δι᾽ ὃν
happening and the reason at-all having-been-ignorant through which

ἐπεραίνοντο. ἀλλ᾽ οὔπω ἀκριβῶς τὸ βράβευμα τοῦτο
they-were-accomplished but not-yet exactly the award this
τῇ πολιτείᾳ ἐγνώριστο, καὶ κρίμα θανάτου κατὰ τοῦ
to-the citizenry had-become-known and (a)-judgment of-death against the
βασιλέως ἐξάγεται παρὰ τῆς φατρίας ἐκείνης τῆς πονηρᾶς,
emperor is-brought-out by the faction that the wicked
τὸ τοῦ Σολομῶντος ἄντικρυς ἐπαινεσάντων τῶν
the(-word) — of-Solomon outright having-praised the(-ones)
συνειλεγμένων τότε καὶ φθεγξαμένων ἀναιδῶς „δήσωμεν
gathered then and having-uttered shamelessly let-us-bind
τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστὶ καὶ βαρύς ἐστι καὶ
the just because troublesome to-us he-is and heavy he-is even
μόνον βλεπόμενος.“ καὶ νυκτὸς ἐπεισπεσόντων αὐτῷ τοῦ
only being-seen and by-night having-fallen-on him —
Ἁγιοχριστοφορίτου Στεφάνου, τοῦ Τριψύχου Κωνσταντίνου
Hagiochristophorites Stephen — Tripsychos Constantine
καί τινος Δαδιβρηνοῦ Θεοδώρου, προεστῶτος τῶν
and (a)-certain Dadibrenos Theodore presiding-over the
ῥαβδοφόρων, τὴν διὰ τόξου νευρᾶς καθυποδέχεται
rod-bearers the by bow's string be-receives
πνιγμονήν. ἀρθεὶς δὲ ὁ νεκρὸς καὶ ἀχθεὶς
strangling having-been-lifted and the corpse and having-been-brought
εἰς Ἀνδρόνικον κατὰ τοῦ κενεῶνος τῷ ἐκείνου ποδὶ
to Andronikos on the flank with-the his foot
τύπτεται, καὶ τῶν τοκέων τῷ κειμένῳ ὁ μὲν ὡς
is-struck and of-the parents to-the(-one) lying the one as
ἐπίορκος ἐκείνῳ καὶ ἐπηρεαστὴς διατωθάζεται, ἡ δὲ ὡς
perjurer to-him and abuser is-mocked the other as
περιλεσχήνευτον ἑταιρικὸν καταμωκᾶται γύναιον, ἔπειτα
(a)-much-talked-of courtesan is-jeered (a)-woman then
τιτρᾶται ὀβελίσκῳ τὸ οὖς, καὶ κρόκης ἐξαφθείσης κηρὸς
is-pierced with-(a)-spit the ear and (a)-thread having-been-fastened wax

περιπλασθεὶς τῷ Ἀνδρονίκου σφραγιστηρίῳ ἐνσημαίνεται
plastered-round with-the of-Andronikos seal is-stamped
δακτυλίῳ. καὶ τὸ μὲν λοιπὸν σῶμα καταδικάζεται ῥιφῆναι
ring and the indeed rest body is-condemned to-be-thrown
βυθῷ, ἡ δὲ κεφαλὴ ἀποτμηθῆναι καὶ αὖθις Ἀνδρονίκῳ
into-(the)-deep the and head to-be-cut-off and again to-Andronikos
προσενεχθῆναι. καὶ πέρας εἰληφότος τοῦ ἐπιτάγματος
to-be-brought and (an)-end having-taken the command
ἡ μὲν ἐν παραβύστῳ κατὰ τὴν λεγομένην Καταβατὴν
the(-head) indeed in (a)-hole at the called Katabate
διαφίεται, τὸ δὲ σκῆνος κεράμῳ μολιβδίνῳ ἐνειληθὲν
is-let-go the and body in-(a)-pot leaden wrapped
τοῖς θαλαττίοις κόλποις ἐκδίδοται, τῆς ἁλιάδος, ἥτις τὸν
to-the of-the-sea gulfs is-given-up the fishing-boat which the
οἰκτρότατον τοῦτον φόρτον ἀνεῖχε, δυσὶν ἀναγομένης
most-pitiable this cargo held with-two putting-out
ἐνδόξοις ἀνδράσι μετὰ μολπῶν καὶ ᾠδῶν, δηλαδὴ τῷ ἐπὶ
notable men with songs and odes forsooth — over
τοῦ κανικλείου Ἰωάννῃ τῷ Καματηρῷ, ὃν καὶ ὕστερον
the inkstand to-John the Kamateros whom also later
ἀρχιποίμενα ἡ τῶν Βουλγάρων προεδρεύουσα ἔλαχε, καὶ
(as)-chief-shepherd the of-the Bulgarians presiding(-see) obtained and
Θεοδώρῳ τῷ Χούμνῳ, ὃς τετίμητο χαρτουλάριος.
to-Theodore the Choumnos who had-been-honored chartoularios

ANDRONIKOS I, BOOK ONE

I · ANNA AND THE OATHS

Alexios dies short of fifteen, after three years of reign under his mother and two tyrants. Andronikos marries Anna, the boy's betrothed and daughter of the king of the Franks, not yet eleven. He has the patriarch Basil and the synod release him and the other perjurers from their oaths to Manuel and his son, rewarding the bishops with stools beside his throne, an honor soon withdrawn. Andronikos Lapardas, commanding with Alexios Branas against the king of Hungary, resolves to escape to the East, crosses from Rhellokastellion, is seized at Atramyttion by Kephalas, blinded, and thrown into the monastery of the Pantepoptes, where he soon dies. Andronikos, frightened, sends forged letters east saying he had sent Lapardas himself.

Καὶ οὕτω μὲν ἐξ ἀνθρώπων ὁ βασιλεὺς Ἀλέξιος
and thus indeed from men the emperor Alexios
ἐγεγένητο, ζήσας τὸν μὲν ἅπαντα χρόνον ἔτη μὴ
had-become(-gone) having-lived the indeed whole time years not
ἀκραιφνῶς πεντεκαίδεκα, τρία δὲ ἐκ τούτων ἄρξας, οὐ καθ'
fully fifteen three and of these having-ruled not by
ἑαυτὸν δὲ καὶ ἀμιγῶς, ἀλλὰ τὰ μὲν πρῶτα ὑπὸ μητρὶ
himself and and unmixed but the indeed first under (his)-mother
τὴν ἀρχὴν διεξαγούσῃ παιδοκομούμενος, ἔπειτα ὑπὸ δυοῖν
the rule conducting being-nursed then under two
τυράννων τῶν πραγμάτων τῆς βασιλείας ἐπειλημμένων ὅσα
tyrants the affairs of-the empire having-seized just-as
καὶ ἥλιος ὑπὸ νέφους συσκιαζόμενος, ὥστε καὶ βασιλευομένῳ
also (the)-sun by (a)-cloud overshadowed so-that also to-(one)-being-ruled
ἐῴκει μᾶλλον ἢ βασιλεύοντι, ἐκεῖνα ἐπιτάσσων καὶ
he-was-like rather than ruling those(-things) ordering and
δρῶν ὅσα εἰσηγοῦντο οἱ ἐπιστάται, μέχρι τοῦ δι'
doing as-many-as proposed the overseers up-to the through

ἀγχόνης τὸ πέρας δέξασθαι τῆς ζωῆς. τῆς δὲ πράξεως
strangling the end to-receive of-the life of-the and deed
ταύτης οὕτω τετελεσμένης οἰκτρῶς, ἁρμόζεται Ἀνδρονίκῳ
this thus having-been-accomplished pitiably is-joined to-Andronikos
πρὸς συμβίωσιν Ἄννα ἡ τοῦ βασιλέως Ἀλεξίου μνηστή,
for cohabitation Anna the of-the emperor Alexios betrothed
θυγάτηρ οὖσα τοῦ τὴν ἀρχὴν τῶν Φράγγων διέποντος.
daughter being of-the(-one) the rule of-the Franks administering
καὶ οὐκ ᾐσχύνετο Κρονίων ἀπόζων ἀνεψιοῦ γυναικὶ
and not was-ashamed of-Kronos smelling (his)-nephew's with-wife
μιλτοπαρήῳ καὶ τρυφερᾷ καὶ μήπω τὸ ἐνδέκατον ἔτος
red-cheeked and delicate and not-yet the eleventh year
ἐξηνυκυίᾳ συγκατακείμενος ἀθεμίτως, καὶ παραγκαλιζόμενος
having-completed lying-with unlawfully and embracing
ὁ πέπων τὴν ὀμφακίζουσαν, ὁ ὑπέρωρος τὴν ἡλικίαν τὴν
the ripe(-one) the still-unripe(-girl) the past-his-prime in-the age the
ὀρθότιτθον νεάνιδα, καὶ ὁ ῥικνὸς τῷ χρόνῳ καὶ χαλαρὸς
firm-breasted maiden and the shriveled in-the time and slack
τὴν ῥοδοδάκτυλον κορίσκην καὶ δρόσον ἔρωτος στάζουσαν.
the rosy-fingered girl and dew of-love dripping
Βασιλεύσας δ' Ἀνδρόνικος αἰτεῖται τὸν πατριάρχην
having-reigned and Andronikos asks the patriarch
Βασίλειον καὶ τὴν τότε σύνοδον λυθῆναι τοῦ ὅρκου ὃν
Basil and the then synod to-be-released from-the oath which
εἶχεν αὐτὸς ὀμωμοκὼς τῷ βασιλεῖ Μανουὴλ καὶ τῷ ἐκείνου
he-had himself having-sworn to-the emperor Manuel and to-the his
ταλαιπώρῳ παιδί, καὶ οἱ ἄλλοι σὺν τούτῳ πάντες, ὅσοι
wretched child and the others with him all as-many-as
παραβάται ὤφθησαν τῶν ὀμωμοσμένων. καὶ οἱ μέν,
transgressors were-seen of-the(-things) sworn and they indeed
ὡς εἰ δεσμεῖν ἀδιαφόρως καὶ λύειν τὰ πάντα εἰλήφασι
as if to-bind indifferently and to-loose the all(-things) they-have-received

πρὸς θεοῦ, τόμους ἐξέθεντο αὐτίκα δι᾽ ὧν ἀμνηστίαν
from God volumes set-out at-once through which amnesty
τῶν ἠνομημένων τοῖς μὴ εὐόρκοις ἐδίδοσαν ἀπαξάπασιν.
for-the transgressions to-the not oath-keeping they-gave all
ὁ δὲ ὡς θαυμαστήν τινα παρέχει τὴν ἀμοιβὴν τοῖς τῶν
he and how wonderful a provides the requital to-the of-the
ἐπιταγμάτων αὐτοῦ πληρωταῖς. ἡ δὲ ἦν καὶ τῶν τότε μὲν
commands his fulfillers it and was both of-the then indeed
αἰτηθέντων ῥαδία τερμάτωσις, ἃ μικρὰ δήπουθεν
asked easy completion which(-things) small surely
ἦσαν καὶ περὶ μικρῶν ὑφηγούμενα· ἡ δὲ μεγίστη τὸ
were and about small(-things) suggesting the(-one) and greatest the
συνεδρεύειν ἐκείνους αὐτῷ σκιμποδίσκων παρατιθεμένων καὶ
to-sit-in-council them with-him stools being-set-beside and
παρεισφερομένων τῷ βασιλείῳ θρόνῳ, ὃ καὶ οὐχ ἧττον
brought-in beside-the imperial throne which also no less
εἰς γέλωτα τῶν ἑλομένων καὶ καταδεξαμένων ἀρχιερέων οὐκ
into laughter of-the having-chosen and having-accepted high-priests not
ἐπὶ συχναῖς ἡμέραις συμβὰν ἥπερ φαντασίαν τιμῆς καὶ
for many days having-happened which (a)-phantasm of-honor and
δόξης ἴνδαλμα, ἐπὶ τὴν προτέραν ἐπανῆλθε συνήθειαν, καθὰ
of-glory (an)-image to the former returned custom as
καὶ ξύλον ἐπικλινὲς βίᾳ πρὸς τὴν προτέραν ἕξιν ἐπάνεισιν
also wood bent by-force to the former state returns
ἀνεθέν. μᾶλλον μὲν οὖν καὶ ταύτης πολὺ παρεσπάσατο· ἵνα
let-go rather indeed then also from-this much he-drew-away that
γὰρ μὴ δοκῇ Ἀνδρόνικος παλιμβολώτατος ἀνθρώπων
for not he-might-seem Andronikos most-changeable of-men
καὶ ἀστασίαν ἤθους ἐπὶ ταῖς ἑαυτοῦ πράξεσι νοσῶν, τὸ εἰς
and from-instability of-character in the his-own deeds sick the into
ὄψιν ἐκείνῳ ἐλθεῖν οἱ ἀρχιερεῖς οὗτοι οὐχ εὕρισκον εὐχερὲς
sight to-him to-come the high-priests these not found easy

ἐπὶ βήματος καθημένῳ μετέπειτα λαμπροῦ. καὶ οἱ πρὸ
on (the)-tribunal sitting afterward brilliant and the(-ones) before
μικροῦ τῇ βασιλικῇ συνεδρίᾳ σεμνυνόμενοι, καὶ γέρας
(a)-little in-the imperial session priding-themselves and (a)-prize
εἰληφέναι τοῦτο Δαυιδικῶς ὡς πιστοὶ τῆς γῆς βρενθυόμενοι,
to-have-taken this David-like as faithful of-the land swaggering
τότε ὑπενόστουν ἐγκαλυπτόμενοι καὶ ταλανίζοντες ἑαυτούς,
then went-back covering-their-faces and pitying themselves
οἷς θεοῦ ἀπέστησαν τὰ ἄλυτα λύοντες καὶ τὸν
for-what from-God they-stood-away the unloosable loosing and the
ἐμπαίκτην διακενῆς Ἀνδρόνικον θεραπεύοντες.
mocker in-vain Andronikos courting

Ὡς δὲ τὰ κατὰ τὴν ἀνάρρησιν τοῦ Ἀνδρονίκου καὶ
as and the(-things) about the proclamation — of-Andronikos and
τὴν ἀναίρεσιν Ἀλεξίου τοῦ βασιλέως δῆλα ἦσαν Ἀλεξίῳ τε
the killing of-Alexios the emperor plain were to-Alexios both
τῷ Βρανᾷ καὶ Ἀνδρονίκῳ τῷ Λαπαρδᾷ τοῖς τῶν ταγμάτων
the Branas and to-Andronikos the Lapardas the of-the units
στρατηγοῖς ἅπερ ἀντεφέρετο κατὰ τὸν Νίσον καὶ τὴν
generals which were-opposed at — Nis and —
Βρανίτζοβαν τῷ τῆς Οὐγγρίας ῥηγὶ τῷ Βελᾷ, πορθοῦντι
Branitzova to-the — of-Hungary king — Bela sacking
τὰ ἐκεῖ πάντα καὶ ποιοῦντι κακῶς τοῖς ξίφεσιν,
the(-things) there all and treating badly with-the swords
ἄτερος μὲν τῶν ἀρχηγῶν ὁ Λαπαρδᾶς ἀπειρητέαν κέκρικε
one indeed of-the commanders — Lapardas to-be-given-up judged
τὴν ζωὴν καὶ τὴν εὐρυχανδῆ γένυν Ἀνδρονίκου διὰ παντὸς
the life and the wide-gaping jaw of-Andronikos through all
ὑπεβλέπετο καταχάσκειν ἔκτοτε μέλλουσαν καὶ αὐτοῦ, ὁ
suspected to-gape-down thenceforth about-to also on-him —
δέ γε Βρανᾶς ἀσμένως τὴν μετάθεσιν τῆς βασιλείας
and at-least Branas gladly the change of-the empire

ὑπέφερεν, ἤδη τῷ χορῷ ἐγγραφεὶς οἷς Ἀνδρόνικος
bore already in-the chorus enrolled on-whom Andronikos
προσέβλεπεν ἥμερον. πολλὰς οὖν ὁ Λαπαρδᾶς Ἀνδρόνικος
looked tamely many then — Lapardas Andronikos
ὁδοὺς τραπόμενος ἐνθυμήσεων, καὶ κατὰ κύνα Λάκαιναν
roads having-turned of-thoughts and like (a)-dog Laconian
ἣν θευσεῖται ἰχνηλατήσας, μίαν εὕρισκε σώζουσαν ἀτραπὸν
which will-run having-tracked one found saving path
τὸ τῆς ὄψεως καὶ ἐξουσίας ἀποπλάζεσθαι Ἀνδρονίκου.
the from-the sight and power to-wander-away of-Andronikos
καὶ εἶχεν ἂν ἑαυτὸν ἀπαθῆ κακῶν διατηρήσας, εἰ τῇ
and would-have — himself unharmed by-evils having-kept if in-the
βουλῇ ταύτῃ ἐπέμενε καὶ μὴ πρὸς πρᾶξιν ἑτέραν
counsel this he-had-remained and not to deed another
μετακεκύβευτο. ἐρασθεὶς δὲ κακῶς δράσειν Ἀνδρόνικον
had-shifted having-longed and badly to-do (to-)Andronikos
καὶ τῆς εἰς τὸν κύριον καὶ βασιλέα παρανομίας
and for-the against the lord and emperor transgression
ἀμύνασθαι, θαρρεῖ τὴν ἀπόστασιν, καὶ τὴν δυσμὴν ὁρῶν
to-avenge dares the revolt and the west seeing
οὐ χωρήσουσαν αὐτὸν μήτε μὴν παραδεξομένην τὴν κατ᾽
not going-to-hold him nor indeed going-to-receive the against
Ἀνδρονίκου ὁρμὴν διὰ τὸν παρόντα καὶ συστρατηγοῦντα
Andronikos rush because-of the present and fellow-general
Βρανᾶν, τὴν ἕω φαντάζεται καὶ πρὸς ἐκείνην ἐκτείνει τοὺς
Branas the east imagines and toward it stretches the
ὀφθαλμούς, καὶ ὡς συνηθεστέραν μὲν ἑαυτῷ ἄρξαντι κατ᾽
eyes both as more-familiar indeed to-himself having-ruled in
αὐτὴν πολλάκις τὰς μεγίστας ἀρχάς, καὶ ὡς θερμὰ δὲ
it often the greatest offices and as hot and
πρὸς ἀντιστασίαν οὐχ ἧττον τρέφουσαν σώματα. ἀμέλει καὶ
for resistance no less nourishing bodies indeed also

τῷ συνηγεμόνι Βρανᾷ κοινολογησάμενος, καὶ πείσας
with-the fellow-commander Branas having-conferred and having-persuaded
κατὰ χώραν μένειν ἕως αὐτὸς πρὸς τὸν πρεσβύτην ἅμα
in place to-remain until himself to the old(-man) at-once
καὶ πρόσφατον αὐτοκράτορα παραγένοιτο, ὡς εἶχεν εὐθὺς
and new autocrat should-arrive as he-was at-once
ἐξώρμησε, τὴν φήμην προφθάνων, ἣ καὶ τὰ ὑπὸ
rushed-out the report anticipating which also the(-things) under
γῆν κρυπτόμενα διορᾷ καὶ τὰ γενησόμενα πολλάκις
earth hidden sees-through and the(-things) going-to-be often
ὡς ἤδη γεγενημένα διατρανοῖ. καὶ γεγονὼς κατὰ τὴν
as already having-been proclaims and having-come at —
Ὀρεστιάδα, εἴποι δ' ἄν τις ἄλλος Ἀδριανούπολιν,
Orestias would-call and — anyone other Adrianople
ἀφ' ἧς ὥρμητο, καὶ βραχύ τι ἐγκαρτερήσας καὶ
from which he-had-set-out and little something having-stayed and
ὅσον ταῖς ἐκεῖ κατοικούσαις ἀδελφαῖς ὁραθῆναί τε καὶ
as-much-as by-the there dwelling sisters to-be-seen both and
συντάξασθαι τὰ ἀπόδημα, ἔγνω μὴ περαιτέρω ἐλινύειν
to-take-leave the parting-greetings resolved not further to-linger
ἀλλ' ὡς ἐνὸν ἐπισπέρχειν τὴν ἐς ἕω περαίωσιν·
but as (was)-possible to-hasten the to (the)-east crossing
ἤδη γὰρ ἀθυρόγλωττος ἦν ἡ φήμη, καὶ ἐπὶ τριόδων
already for unbarred-of-tongue was the report and at crossroads
καὶ πλατειῶν ἄκρων τε τειχέων καὶ δόμων εὐστόμει τὴν
and squares (the)-tops both of-walls and of-houses spoke-aloud the
ἀπόδρασιν τοῦ ἀνδρός, καὶ πολλαχῇ ἐτίθει διατοξεύσιμον.
escape of-the man and in-many-places made (it)-shot-through
μιᾷ τοίνυν νυκτὶ πρὸς θάλασσαν κάτεισι, καὶ ναυσὶν
in-one therefore night to (the)-sea goes-down and ships
ἐμβὰς αὐτός τε καὶ οἱ σὺν αὐτῷ, αἳ κατὰ τὸ
having-boarded himself both and the(-ones) with him which at —

Ῥελλοκαστέλλιον τούτου ἕνεκα ἡτοιμάσθησαν, ἐς τὴν
Rhellokastellion of-this for-the-sake had-been-prepared to the
περαίαν γίνεται. κἀντεῦθεν ἀναπνεύσας βραχὺ ἐκφυγεῖν τὸ
opposite-shore comes and-thence having-breathed (a)-little to-escape the
διολέσθαι ᾤετο καὶ τὸ προβεβλῆσθαι θοίνη τις ἑτοίμη ἢ
to-perish he-thought and the to-be-set-forth feast some ready or
ἐπιτράγημα πρόχειρον ταῖς γνάθοις τοῦ Ἀνδρονίκου. ἦν δ',
dessert at-hand to-the jaws — of-Andronikos was and
ὡς ἔοικε, καὶ οὗτος τῇ προνοίᾳ ἐκ τῆς τῶν ζώντων
as it-seems also this(-man) by-the providence from the of-the living
βίβλου ἀπηλειμμένος καὶ εἰς θοίνην Ἀνδρονίκῳ δαιταλευθεὶς
book erased and for (a)-feast for-Andronikos served-up
καὶ τὴν νεύουσαν ἐς ᾅδου κληρούμενος πλάστιγγα. ἐνθέν
and the inclining to Hades being-allotted scale thence
τοι καὶ τοῦ θεοῦ ἀντιπνεύσαντος ἐκείνων ταῖς χερσὶ
surely also — God having-blown-against(-him) of-those by-the hands
θηρᾶται καὶ ἀναπέμπεται πρὸς Ἀνδρόνικον, ὑφ' ὧν
is-hunted and is-sent-up to Andronikos by whom
ἐλπίσιν ἐθάλπετο συντηρηθῆναι ἀδιαλώβητος, εὖ τε καὶ
with-hopes he-was-warmed to-be-preserved unharmed well both and
ὡς ἀρίστως πράξειν, καὶ χειρὶ καὶ ψυχῇ παντοίαν
as best to-fare and with-hand and soul every-kind-of
σύναρσιν καὶ ἄρηξιν εὕρασθαι πρὸς τὸ καταπαλαῖσαι
help and aid to-find for the to-wrestle-down
Ἀνδρόνικον. ἦσαν δὲ ταῦτα διανοίας οὐκ εὐτυχοῦς
Andronikos were and these(-things) of-mind not fortunate
ἀναπλάσματα καὶ ὀνειρώδη, ὡς δέδεικται, φαντάσματα.
fabrications and dreamlike as was-shown phantasms
γενόμενος γὰρ κατὰ τὸ Ἀτραμύττιον συλλαμβάνεται παρά
having-come for at — Atramyttion he-is-seized by
τινος Κεφαλᾶ, ἀνδρὸς μέγα δυναμένου τότε παρὰ τῇ
(a)-certain Kephalas (a)-man greatly being-powerful then in the

χώρᾳ καὶ πρωτιστεύοντος πιστοῦ τε τῷ τυραννοῦντι, ὡς
land and being-first faithful both to-the tyrant as
ἔδειξε, καὶ παρακατατίθεται χερσὶν Ἀνδρονίκου σφάγιον
he-showed and is-deposited into-hands of-Andronikos (a)-victim
εὐτρεπὲς καὶ ἱερεῖον ἀνακογχυλιαζόμενον πρὸς ἀναίρεσιν,
ready and (a)-sacrifice purple-dyed for killing
καὶ τὰς κόρας ἐκκόπτεται, καὶ παραρριπτεῖται τῇ τοῦ
and the pupils is-cut-out-of and is-thrown into-the —
Παντεπόπτου μονῇ, τὴν τῶν κατ᾽ αὐτὸν πραγμάτων
of-Pantepoptes monastery the of-the about him affairs
φορὰν ὡς ἀγνώμονα ὀδυρόμενος· τὸν μὲν γὰρ ὑπὲρ
course as unkind lamenting him indeed for for
καλλίστης αἰτίας τὸν τῆς ἀποστασίας ἀναρῥῖψαι κύβον,
(a)-finest cause the of-the revolt to-have-thrown die
τὴν δὲ οὐδὲ τὸ βραχύτατον γοῦν προσσχοῦσαν οἷς
it and not-even the smallest at-any-rate having-attended to-what
μετ᾽ εὐβουλίας αὐτὸς ἐπέβαλε, προσθέσθαι μερίδι τῇ
with good-counsel himself undertook to-attach-to part to-the
χείρονι. οὕτω κρύψας ἔχει θεὸς οὐ μόνον τὸν ἄμοχθον
worse thus having-hidden has God not only the toilless
καὶ ἀνόδυρτον βίον, ἀλλὰ καὶ τὸ προαισθέσθαι τὸ μέλλον
and unlamented life but also the to-foresee the coming
κακὸν καὶ τὸ προελέσθαι τὸ ἀκίνδυνον ἐπιτήδευμα. καὶ
evil and the to-choose-beforehand the dangerless pursuit and
οὗτος γὰρ ὁ ἀνὴρ ἐν πολλοῖς ὀφθεὶς στρατηγικώτατος,
this(-man) for the man in many(-things) seen most-generalship-skilled
αἰσχρὸν δουλεύειν οἰηθεὶς Ἀνδρονίκῳ μετὰ τὸν τοῦ
shameful to-serve having-thought (to-)Andronikos after the of-the
βασιλέως Ἀλεξίου μόρον, καὶ τὸν ἐκ τοῦ τυράννου
emperor Alexios fate and the from the tyrant
προφθάνων θάνατον, καὶ πρὸς φόνον ἑτοιμοτάτης ἀποξενῶν

ἑαυτὸν φύσεως, ἔλαθεν ὑπ᾽ ἐκείνου καταλαμβανόμενος
himself from-(a)-nature was-unaware by that being-caught
ὃν ἔφευγεν, ἢ χερσὶν ἐμπίπτων ἃς ἀπεδίδρασκεν,
whom he-fled or into-hands falling which he-ran-from
ἢ τὸν ἐξόπισθεν καταλήψεσθαι προσδοκώμενον ὡς
or the(-one) from-behind going-to-overtake expected as
ἐπιδιώκοντα κατὰ στόμα προσυπαντῶντα εὑρίσκων καὶ
pursuing at (the)-mouth meeting finding and
ἐνώπιον συμπλεκόμενον καὶ συνέχοντα. καὶ ὁ μὲν μετ᾽
in-front grappling and holding and he indeed after
οὐ πολύν τινα χρόνον τοῦ βίου θανάτῳ ἀπάγεται, ὁ
not much some time from-the life by-death is-led-away —
δ᾽ Ἀνδρόνικος οὕτω τῇ ἀποστασίᾳ τούτου κατεπτοήθη
and Andronikos thus at-the revolt his was-terrified
ὡς παρ᾽ ὅλην τὴν ἐκείνου φυγὴν τὴν οἰκείαν ὡς ἤδη
that throughout whole the his flight the own as already
ἐφεστῶσαν φαντάζεσθαι καταστροφήν· ἐδεδίει γὰρ ὡς περὶ
standing-over to-imagine overthrow he-feared for as about
τὰς μάχας ὀξύρροπον καὶ λήματος ἀνδρείου μέτοχον τὸν
the battles quick-inclining and of-spirit manly partaking —
Λαπαρδᾶν. ἀμέλει καὶ μὴ προχωροῦσαν ὁρῶν τὴν δι᾽
Lapardas indeed also not advancing seeing the through
ἐπιδιώξεως ἢ μεθ᾽ ὅπλων τούτου καταπολέμησιν, πρὸς
pursuit or with arms his warring-down to
τὴν διὰ γραμμάτων μεθαρμόζεται πανουργίαν, καὶ τὸν
the through letters he-changes villainy and the
τρόπον καινὸν ὁ σοφιστὴς ἀνεπλάσατο. βασιλικὰ γὰρ
manner new the sophist fabricated imperial for
ξυνθέμενος γράμματα ἐκπέμπει ταῦτα πρὸς τοὺς τῶν ἑῴων
having-composed letters he-sends-out these to the of-the eastern
ἐπαρχιῶν πρωτεύοντας· ἐλάλουν δὲ πονηρίαν ἀληθῶς
provinces chief(-men) spoke and wickedness truly

τὰ γραφόμενα, καὶ διετείνοντο, ὁμιλοῦντα ἔχοντα
the(-things) written and insisted conversing having
τὸν Ἀνδρόνικον, παρ᾽ αὐτοῦ σταλῆναι κατὰ τὴν Ἀσίαν
— Andronikos by him to-have-been-sent to — Asia
τὸν Λαπαρδᾶν, καὶ πᾶν ὅπερ ἂν οὑτοσὶ διαπράξηται
— Lapardas and all whatever — this(-man) may-do
κατ᾽ οἰκονομίας ἄγνωστον τοῖς πολλοῖς τρόπον ὑπὲρ
by of-economy unknown to-the many manner for
τῆς αὐτοῦ βασιλείας μέλλειν τοῦτο διαπραχθήσεσθαι, καὶ
the his empire to-be-about this to-be-going-to-be-done and
ἐνῆγε πάντας εἰς τὴν ἐκείνου ἀνενδοίαστον παραδοχήν.
he-urged all to the his unhesitating reception
ἦν δὲ ὁ σκοπὸς Ἀνδρονίκῳ ἐντεῦθεν ἐγκόψαι τὴν ὁρμὴν
was and the aim for-Andronikos hence to-cut-off the rush
τῶν πολλῶν, ὑφορωμένων ἐφ᾽ ὅτῳ δὴ αὐτὸς μὲν
of-the many suspecting at which indeed he-himself indeed
ὁ Λαπαρδᾶς κατ᾽ Ἀνδρονίκου ἐξῆρκε τὸ φρόνημα καὶ
— Lapardas against Andronikos raised the spirit and
ὡς ἀντίφρων τὰς τῶν ἀνδρῶν στίχας ἐπιπορεύεται, ὁ
as contrary-minded the of-the men ranks goes-along —
δ᾽ Ἀνδρόνικος τῷ ἀποστάτῃ τὴν ἐς αὐτὸν πίστιν
and Andronikos to-the rebel the toward himself faith
ἐπιμαρτύρεται καὶ ὡς παρ᾽ αὐτοῦ πεμφθέντα τὸν πεφευγότα
bears-witness and as by him sent the fugitive
δέξασθαι διορίζεται. καὶ τί μὲν ἂν ταῦτα τὰ καινοφανῆ
to-receive ordains and what indeed — these the new-appearing
ἔδρασάν τε καὶ ἴσχυσαν γράμματα, ἡ ὀξεῖα τοῦ
would-have-done both and would-have-availed letters the swift of-the
ἀνδρὸς κατάσχεσις οὐ παρῆκε διαγνωσθῆναι.
man seizure not allowed to-be-discerned

Relieved, Andronikos visits his father's tomb at the monastery in Bera and spends Christmas at the races. In spring he sends Alexios Branas against Lopadion and marches on Nicaea, which has received Isaac Angelos, Theodore Kantakouzenos, and Persians; its people revile him from the walls. His engines fail, so he brings Isaac's mother Euphrosyne and sets her on the ram as a shield. The defenders shoot past her, burn the engines by night, and draw her up by a rope, jeering at Andronikos as a butcher and an old Priapus, while he paces about the city like a baffled bear.

Τότε δὲ καὶ τὴν ποίαν ταύτην παρὰ δόξαν Ἀνδρόνικος
then and also the terror this beyond expectation Andronikos
ἀποκρουσάμενος ἰάνθη τὸ ψυχίδιον ὡσεί τε περὶ
having-repelled was-cheered the little-soul as both about
σταχύεσσιν ἐέρση, καὶ τῆς πόλεως ἔξεισι, καὶ ὁμαλαῖς
ears-of-grain (the)-dew and from-the city goes-out and with-even
κινήσεσι καὶ σταθμοῖς βραχέσι καταλαμβάνει τὰ Κύψελλα,
movements and stages short reaches — Kypsella
καὶ τοῖς ἐκεῖσε κυνηγεσίοις ἐνευφρανθεὶς κατὰ τὴν
and by-the there hunts having-been-delighted at the
πατρῴαν ἀφικνεῖται μονὴν τὴν ἐν τῇ Βήρᾳ διακειμένην,
paternal arrives monastery the in — Bera lying
καὶ τῷ τοῦ φύσαντος ἐφίσταται μνήματι μετὰ
and at-the of-the(-one) having-begotten(-him) stands tomb with
δορυφορίας καὶ δόξης βασιλικῆς, ἧς κἀκεῖνος πάλαι
bodyguard and glory imperial which also-that(-man) long-ago
ποτὲ ἐρῶν οὐκ ἐφίκετο, ἐπεὶ καὶ τὸ βασιλειᾶν πατρόθεν
once loving not reached since also the desire-to-reign from-the-father
Ἀνδρόνικος ὡς κλῆρον καταβὰν διεδέξατο. καὶ
Andronikos as (an)-inheritance having-come-down took-over and
κατ᾽ ἐκείνας τὰς ἡμέρας σχάσας τὸ κακῶς τινὰς
in those the days having-relaxed the badly some

τιθέναι, ὡς Ἀλκυονίδας πρὸς πολλῶν ὀνομάζεσθαι, μετὰ
to-treat as Halcyon(-days) by many to-be-named after
μικρὸν ἐπάνεισιν αὖθις εἰς τὰ βασίλεια, τῶν γενεθλίων
(a)-little he-returns again to the palace the birthday
ἐπιστάντων Χριστοῦ. καὶ ἁμίλλαις ἵππων καὶ θεωρίαις
having-come of-Christ and to-contests of-horses and spectacles
προσσχών, ἔαρος ὑποφαίνοντος τὸ στρατιωτικὸν ἅπαν
having-attended spring appearing the military(-force) all
συνήθροισε, ὅσον τε ἑσπέριον καὶ τοῦ ἑῴου ὁπόσον
he-gathered as-much-as both western(-was) and of-the eastern as-much-as
οὐκ ἀφηνίασε· καὶ αὐτὸς μὲν τὴν εὐθὺ τῆς πόλεως
not had-revolted and himself indeed the(-road) straight-to the city
Νικαίας ἴεται, τὸν δὲ Βρανᾶν Ἀλέξιον ἐκ τῶν κατὰ
Nicaea hastens — and Branas Alexios from the at
Βρανίτζοβαν ἐπανεληλυθότα μερῶν ἐκπέμπει μετὰ στρατιᾶς
Branitzova having-returned parts he-sends-out with army
ἱκανῆς τοῖς περὶ τὸ Λοπάδιον ἀντιταξόμενον· ἤδη γὰρ
sufficient the(-ones) about — Lopadion going-to-array-against already for
καὶ οὗτοι τοῖς ὁμόροις Νικαεῦσί τε καὶ Προυσαεῦσιν
also these with-the neighboring Nicaeans both and Prousans
ἐς τὸ αὐτὸ ἥκοντες ἀπέστησαν φρόνημα. καὶ ὡς
into the same having-come had-stood-away spirit and as
εὐρόησεν αὐτῷ ἡ στρατήγησις καὶ τέλος τῷ πολέμῳ
went-well for-him the generalship and (an)-end to-the war
ἐπέθηκε δεξιώτατον, ἄρας ἐκεῖθεν πρὸς τὴν Νίκαιαν
he-put most-favorable having-set-out thence to — Nicaea
παραγίνεται καὶ συμμίγνυσιν Ἀνδρονίκῳ, καὶ περὶ ἓν
arrives and joins Andronikos and in one
στρατόπεδον ἀμφοτέρων συνδραμόντων τῶν στρατευμάτων
camp both having-run-together the armies
ἔγνω προσβαλεῖν τῇ πόλει Ἀνδρόνικος. οἱ γὰρ ἔνδον
resolved to-attack the city Andronikos the(-men) for inside

οὐκ ἀπόντος μόνον Ἀνδρονίκου ἐφρονηματίζοντο, ἀλλὰ καὶ
not absent only Andronikos were-haughty but also
παρόντα ἐξουθένουν, καὶ ὅπλοις ἠμύνοντο παντοίοις
present despised and with-arms defended(-themselves) all-kinds-of
τῶν τειχῶν προεκφαινόμενοι, καὶ λόγοις ἀσχήμοσιν
from-the walls appearing and with-words unseemly
ἔπληττον, μηδενὸς φειδόμενοι καὶ βλήματος καὶ ῥήματος.
struck sparing nothing both of-missile and of-word
καὶ ἦσαν αἱ μὲν πύλαι τῆς πόλεως μεμυκυῖαι καὶ ὀχεῦσιν
and were the indeed gates of-the city shut and with-bars
ἀραρότως ἐνηρμοσμέναι, αἱ δὲ γλῶσσαι, ὅσα καὶ πυλῶν
firmly fitted the and tongues just-as also of-gates
τῶν χειλέων διαιρομένων, καὶ ὡς ἐκ θωρακίων τῶν
the lips being-parted and as from breastworks the
ὀδόντων ἐκπίπτουσαι, βολίδας αἰσχρορρημοσύνης ἠκόντιζον
teeth falling-out darts of-foul-speech hurled
ἐς Ἀνδρόνικον. ὁ δὲ τοιούτῳ βλήματι καιρίως πληττόμενος
at Andronikos he and with-such missile mortally being-struck
πῦρ ἀπέπνει θυμοῦ ἐκπυρηνίζον ἆσθμα Τυφώνειον, οἷα
fire breathed of-wrath blazing-out (a)-breath Typhonian as
μηδὲ στέγειν ἔχων τὸν ἔνδον τάραχον ἐπεὶ καὶ πόλις ἡ
not-even to-contain being-able the inner turmoil since also (the)-city —
Νίκαια αὐχεῖ μὲν καὶ τὸ ἐκ κραταιῶν τειχῶν ἀνάλωτον
Nicaea boasts indeed also the from strong walls untakeable
ἢ δυσάλωτον γοῦν, ἐκ πλίνθου ᾠκοδομημένη πᾶσα
or hard-to-take at-any-rate of brick built all
ὀπτῆς· τότε δὲ καὶ στρατιωτῶν εἰς αὐτὴν εἰσρυέντων
baked then and also soldiers into it having-flowed
ὁπόσοι ἀπεστύγουν Ἀνδρόνικον, καὶ τοῦ Ἀγγέλου δὲ
as-many-as loathed Andronikos and — of-Angelos and
Ἰσαακίου, ὃς μετ᾽ Ἀνδρόνικον Ῥωμαίων ἐκράτησε τῆς
Isaac who after Andronikos of-(the)-Romans ruled from-the

τυραννίδος παραλύσας Ἀνδρόνικον, καὶ τοῦ Καντακουζηνοῦ
tyranny having-removed Andronikos and — of-Kantakouzenos
Θεοδώρου, καὶ Περσῶν ἐκ προσκλήσεως εἰσδεδεγμένων
Theodore and Persians by invitation having-been-received
ἔνδοθεν, οὐκ ἀγαθὰ τοῖς πορθοῦσι τὰ τοῦ
inside not good for-the(-ones) sacking the(-things) of-the
πολιορκεῖν ἐφαντάζετο. πλείστας οὖν ἡμέρας παριππεύσας
besieging appeared very-many then days having-ridden-by
Ἀνδρόνικος οὐδὲν ἤνυεν, ἀλλ᾽ ἄντικρυς ἐῴκει ὄρεσιν
Andronikos nothing accomplished but outright seemed against-mountains
ἀποτόμοις προσφερόμενος ἢ πετρῶν ῥαχίαις συμπλεκόμενος
sheer charging or with-rocks' ridges grappling
παραλόγως, καὶ πρὸς Ἄρβηλα καὶ τείχη διαμιλλώμενος
unreasonably and with Arbela and walls vying
Σεμιράμεια, ἢ βέλεμνα πέμπων πρὸς οὐρανόν. οἱ
Semiramidean or missiles sending to heaven the(-men)
γὰρ ἔνδον ἐκθύμως ἐμάχοντο, καὶ ὅπλοις μὲν τὰς δι᾽
for inside furiously fought and with-arms indeed the through
ὅπλων ἀπεκρούοντο προσβολάς, μηχανῶν δὲ κατασκευαῖς
arms repelled attacks of-engines and by-constructions
ἀπηχρείουν τέλεον τὰ τῶν πετρῶν ἀφετήρια, ἅπερ ὁ
made-useless wholly the of-the stones catapults which the
βαθύνους Ἀνδρόνικος ἐτεκταίνετο, τειχομάχια ἱστῶν
deep-minded Andronikos built wall-fighting(-engines) setting-up
βελοστάσιά τε καὶ ὀρυκτῆρας ἐπιτεχνώμενος, καὶ εἴ τι
missile-stations both and diggers devising and if anything
ἕτερον διαλύειν ἔχει περίβολον πόλεως ἐργαζόμενος, καὶ
other to-dissolve is-able (the)-circuit of-(a)-city working and
φιλοτιμούμενος πρὸς τοὺς παρόντας, ὡς πολὺ τὸ κατὰ
striving-for-honor toward the(-ones) present that much the in
τὰς τῶν πόλεων ἁλώσεις ἐνδέξιον ηὔχησεν. ὁ μὲν γὰρ
the of-the cities captures dexterity he-boasted he indeed for

ἐπήγνυε τὰς ἑλεπόλεις, καὶ τὴν σφενδόνην περιειργάζετο, τὸν
fixed the city-takers and the sling busied-himself-about the
λύγον τε καὶ τὸν στρόφαλον καὶ τὸν τειχεσιπλήτην κριὸν
withy both and the pivot and the wall-striking ram
σιδήρῳ ἐφράγνυεν· οἱ δὲ Νικαεῖς τοτὲ μὲν ἀπὸ πυλίδων
with-iron fenced the and Nicaeans sometimes indeed from posterns
ἀδήλων ἐκθρώσκοντες τῆς πόλεως πυρὶ παρεδίδοσαν καὶ
unseen leaping-out of-the city to-fire handed-over and
χερσὶ κατέσπων τὰ μηχανήματα, τοτὲ δὲ προσαγόμενα
with-hands dragged-down the engines sometimes and brought-against
τείχεσι δι᾽ ἑτέρων ὁμοίων ὀργάνων ὡσεὶ καὶ ἀράχνης
(the)-walls through other like engines as also of-(a)-spider
διέλυον νήματα, ὥστε καὶ Ἀνδρόνικος εἰς κενὸν σχάζοντα
dissolved threads so-that also Andronikos into vain dropping
ὁρῶν τὰ ἑαυτοῦ διαβούλια ἐννοεῖ τι ἀπάνθρωπον
seeing the his-own plans thinks-of something inhuman
καὶ ὀλίγοις πάλαι καταπραχθὲν πολιορκοῦσί τε καὶ
and by-few of-old done by-besiegers both and
πολιορκουμένοις ἔξωθεν. τὴν γὰρ Ἰσαακίου τοῦ Ἀγγέλου
by-besieged from-outside the for of-Isaac the Angelos
μητέρα τὴν Εὐφροσύνην ἐκ Βυζαντίου ἀνακομίσας νῦν μὲν
mother — Euphrosyne from Byzantium having-brought-up now indeed
ὡς πρόβλημα προυτίθει τῶν ἑλεπόλεων, νῦν δὲ τῷ κριῷ
as (a)-shield set-before the city-takers now and on-the ram
ἐπαναβάλλων ὡς ἐν ὀχήματι προσῆγεν οὕτω τῷ τείχει τὸ
putting(-her) as in (a)-vehicle brought thus to-the wall the
μηχάνημα. τῷ τοι καὶ ἦν δακρύειν ἐν ταὐτῷ
engine for surely also it-was(-possible) to-weep in the-same(-time)
καὶ θαυμάζειν, δακρύειν μὲν διὰ τὸ τοῦ ὁράματος
and to-wonder to-weep indeed because-of the of-the sight
καινότροπον καὶ τὸ τοῦ θυμοῦ πάντα ῥᾷον ποιεῖν, καὶ
novel-kind and the of-the wrath all(-things) more-easily doing and

μηδεμίαν τῶν ξενακούσεων καὶ τῆς ἀνθρωπίνης φύσεως
none of-the unheard-off(-things) and of-the human nature
ἀλλοτρίων ὑποστελλόμενον πρᾶξιν, ἐκπλήττεσθαι δ' ὅπως
alien shrinking-from deed to-be-astounded and how
οὐκ ἐτεθνήκει τῷ δέει τὸ γύναιον ἄνω τῶν μηχανημάτων
not had-died from-the fear the woman above the engines
καθήμενον καὶ τοῖς τείχεσι τῆς πόλεως προσαγόμενον,
sitting and to-the walls of-the city brought
ὅτε καὶ πρώτως τεθέανται ἄνθρωποι σαρκίον ἁπαλὸν καὶ
when also first saw men flesh soft and
τοῦτο γυναικεῖον εἰς ἔρυμα σιδήρου προβεβλημένον, καὶ
this womanly for (a)-defense of-iron put-forward and
τὴν τάξιν ἐνηλλαγμένην καὶ μεταπηδῶσαν ἐς τὸ ἀνόμοιον,
the order changed and leaping to the unlike
ὡς δέμας μὲν εὐπαθὲς καὶ ἀνθρώπινον τῶν ἀντιτύπων
as (a)-body indeed delicate and human before-the resistant
προεκκεῖσθαι μηχανημάτων εἰς ἀποσόβησιν τοῦ χαλκὸν
to-be-set engines for (the)-scaring-off of-the bronze
ἐγχρίπτειν χαλκῷ, σίδηρον δὲ περιστελλόμενον ἀνθρώπου
to-strike-against bronze iron and being-wrapped by-(a)-man's
σώματι. τοῖς δ' ἐκ τῶν τειχῶν οὕτως ἀτεχνῶς τὰ
body to-the(-ones) and from the walls thus simply the
βέλη ἐφρένωτο ὡς ἀφίεσθαι μὲν καθὰ καὶ πρότερον
missiles had-been-given-sense so-that to-be-shot indeed as also before
καὶ πλήττειν τοὺς ἐπιόντας καὶ καταπλήττειν, αὐτὴν δὲ
and to-strike the attackers and to-astound herself and
τὴν εὐγενῆ γυναῖκα κακῶν ἀπαθεστάτην τηρεῖν, ὡς εἴπερ
the noble woman by-evils most-untouched to-keep as if
καὶ χερσὶ καὶ νεύμασιν ἐξ ἑαυτῆς μετῆγε τὰ βέλεμνα, εἰς
also with-hands and nods of herself she-diverted the missiles to
δὲ τὰς τῶν ἀντιθέτων καρδίας αὐτὰ κατέπηξεν. οὐ μόνον
and the of-the opponents hearts them fixed not only

τοίνυν ἐς οὐδὲν χρήσιμον τὴν ἀπάνθρωπον ταύτην ἐπίνοιαν
therefore to nothing useful the inhuman this design
καταλήξασαν εἶδεν Ἀνδρόνικος, ἀλλὰ καὶ νυκτὸς ἐξιόντες οἱ
having-ended saw Andronikos but also by-night going-out the
Νικαεῖς τάς τε μηχανὰς πυρὶ παρέδοσαν καὶ τὴν γυναῖκα
Nicaeans the both engines to-fire handed-over and the woman
διὰ μηρίνθου ἀνιμήσαντο ἢ ὡς Ἅρπυιαι ἀνηρείψαντο,
by (a)-cord drew-up or as Harpies snatched-up
Ἀνδρόνικον δὲ ὡς Φινέα ἄλλον παρῆκαν ἄχθεσθαι μὴ
Andronikos and as Phineus another let to-be-vexed not
ἔχοντα ὃ πεινῶντι τῷ θυμῷ παραθήσεται. καὶ κλέος
having what hungry to-the wrath he-will-set-before and glory
ἐντεῦθεν μέγα ἐπ᾽ ἀνδρείᾳ παρὰ τοῖς ἐναντίοις κτησάμενοι
hence great for courage among the opponents having-acquired
οἱ Νικαεῖς ἔτι μᾶλλον ἠρρενώθησαν τὰ φρονήματα
the Nicaeans still more were-made-manly in-the spirits
καὶ τῆς μάχης ἥπτοντο εὐθαρσέστερον. οὐκ ἀπὸ τῶν
and the battle touched more-boldly not from the
τειχῶν δὲ μόνον προφαινόμενοι ἔργα γενναῖα ἐπεδείκνυντο,
walls and only appearing deeds noble they-displayed
καὶ Ἀνδρόνικον σκώμμασιν ἔπλυνον, μακελλάριον αὐτὸν
and Andronikos with-jeers washed butcher him
ἀποκαλοῦντες καὶ κύνα φιλαίματον καὶ σαπρόγηρον καὶ
calling and dog blood-loving and rotten-old and
κακὸν ἀθάνατον καὶ ἀνθρώπων Ἐριννὺν καὶ φιλογύνην
evil immortal and of-men Erinys and woman-lover
καὶ Πρίηπον Τιθωνοῦ τε καὶ Κρόνου πολυετέστερον, καὶ
and Priapus than-Tithonus both and Kronos older and
εἴ τι αἴσχιστον ἄλλο πρᾶγμα καὶ ὄνομα, ἀλλὰ κἀκ τῶν
if any most-shameful other thing and name but also-from the
ἐπάλξεων, ὡς εἴρηκε τὸ λέγειν, καταπηδῶντες διεξεχέοντο
battlements as said the saying leaping-down they-poured-out

τῶν πυλῶν. Ἀνδρόνικος δὲ τῷ ὑπωχριῶντι τοῦ προσώπου
from-the gates Andronikos and by-the paleness of-the face
καὶ τῷ μὴ κατὰ φύσιν τοῦ βλέμματος καὶ τῷ πολλάκις
and by-the not according-to nature of-the look and by-the often
ὡς ἐν ἱστῷ ὑφαινούσης τῷ δακτύλῳ περιελίττειν τὸ
as at (a)-loom (a-woman)-weaving with-the finger to-twist the
κατακεχυμένον καὶ βοστρυχῶδες τῆς γενειάδος θυμομαχῶν
flowing-down and curly of-the beard fighting-his-wrath
προδήλως ἐδείκνυτο καὶ δόλους ὑφαίνων κατὰ τῶν
plainly was-shown and tricks weaving against the
Νικαέων. ἀμέλει μηδὲ φέρειν ἔχων τὸ τῶν ἔνδον
Nicaeans indeed not-even to-bear being-able the of-the(-ones) inside
αὐθαδες, λιμώττων δὲ ὡς κύων Δαυιδικῶς εἰπεῖν ἐκ
self-will starving and as (a)-dog David-like to-say from
τοῦ μὴ ἔχειν τὸ κατὰ θοινησόμενον, περιεκύκλου τὴν
the not to-have the(-meal) for to-feast encircled the
πόλιν τῆς ἡμέρας πολλάκις, καὶ ὡς ἠπορημένη ἄρκτος
city of-the day often and as (a)-perplexed bear
τῇδε κἀκεῖσε μεταχωρῶν κατεστέναζε τῶν ταγμάτων,
this-way and-that-way moving groaned-at the units
καὶ τοῖς ταξιάρχαις ἐπέπληττεν ὡς δήπου βλακευομένοις
and the taxiarchs rebuked as surely being-lazy
περὶ τὸν πόλεμον καὶ τὴν παράταξιν ὑπεκκλίνουσι.
about the war and the battle-line avoiding

Theodore Kantakouzenos charges Andronikos from the eastern gate, falls, and is beheaded. The Nicaeans lose heart; their bishop leads them out in supplication, barefoot. Andronikos feigns mercy, but later exiles many and throws some from the walls.

τολμητίας δ᾽ ὢν ὁ Καντακουζηνὸς Θεόδωρος, καὶ
daring and being — Kantakouzenos Theodore and
τῇ ἀκμῇ τῆς ἡλικίας ὅσα καὶ οἶνος ζέων νεωστὶ
in-the prime of-the age just-as also wine boiling newly
ληνοβατηθείς, ἰδών ποτε τὸν βασιλέα Ἀνδρόνικον τὴν
trodden having-seen once the emperor Andronikos the
πόλιν περιιόντα μετὰ ἴλης συχνῆς καὶ εὐίππων ταγμάτων,
city going-round with squadron numerous and well-horsed units
ἐνθουσιωδῶς πλησθεὶς ὁρμήματος καὶ διὰ τῶν ἑῴων
in-a-frenzy filled with-impulse and through the eastern
πυλῶν ἀνακλιθεισῶν ὡς εἶχεν εὐθὺς ἐκθορών, ἐφεπομένων
gates opened as he-was at-once having-leapt-out following
αὐτῷ καί τινων εὐαρίθμων, κατ᾽ Ἀνδρονίκου τιταίνει
him also some few against Andronikos stretches
τὸ δόρυ διὰ τῶν προμάχων χωρῶν. σφοδροτέραν δὲ
the spear through the front-fighters going more-violent and
ποιούμενος τὴν ἐπέλασιν καὶ συνεχῶς κεντρίζων τὸν ἵππον
making the charge and continually spurring the horse
καὶ βιάζων ἄντικρυς ἵπτασθαι, οὐχὶ φέρεσθαι ὡς ἡ φύσις
and forcing outright to-fly not to-be-borne as the nature
τοὺς πόδας ἐπτέρωσεν, ἔλαθεν ἑαυτὸν ἀπολωλεκώς·
the feet winged was-unaware himself having-destroyed
τοῦ γὰρ ἵππου κενεμβατήσαντος καὶ κακῶς ὑπὸ βέλους
of-the for horse having-stepped-on-nothing and badly by (a)-missile

παθόντος κἀντεῦθεν ἐπὶ γόνυ κλιθέντος, τῆς ἕδρας
having-suffered and-thence on knee having-bent from-the seat
ἀποβάλλεται ἐπὶ βρεχμὸν κατώκαρα πεσών, καὶ τῶν
he-is-thrown on (the)-forehead head-down having-fallen and the
μυῶν τῶν νωτιαίων παθόντων κακῶς ἔκειτο ὀλιγοδρανέων,
muscles the spinal having-suffered badly he-lay with-little-strength
σκοτοδίνης ὑποπλησθείς. κἀντεῦθεν ἐπιδραμόντες ξιφήρεις
with-dizziness filled and-thence having-run-up sword-bearing
τῶν ἐξ Ἀνδρονίκου συχνοὶ ἀποδειροτομοῦσι τὸν
of-the(-men) from Andronikos many behead —
Θεόδωρον, εἰσὶ δ' οἳ καὶ τὸν λοιπὸν ἐκρεανόμουν
Theodore are and (those)-who also the rest backed
Θεόδωρον, Ἀνδρονίκῳ δρῶντες τὰ καταθύμια. μετὰ
Theodore for-Andronikos doing the heart-pleasing(-things) after
μικρὸν δὲ καὶ τοῖς οἰκήτορσι τῆς Κωνσταντίνου ἡ τοῦ
(a)-little and also to-the inhabitants of-the(-city) of-Constantine the —
Καντακουζηνοῦ προσάγεται κεφαλή, κοντῷ μετέωρος ταῖς
of-Kantakouzenos is-brought head on-(a)-lance raised in-the
ἀγυιαῖς τῆς πόλεως ἐμπομπεύουσα. οἱ Νικαεῖς τοίνυν τὸν
streets of-the city paraded the Nicaeans therefore the
θαρσαλέον πολεμιστὴν καὶ ἄμαχον πρόμαχον ἀποβαλόντες
bold warrior and invincible front-fighter having-lost
οὐ μικρῶς, ὡς εἰκός, ἐπωδύραντο τοῦτον πεσόντα, καὶ
not slightly as (is)-likely lamented him fallen and
ἀθυμότερον διετέθησαν. βλέψαντες δὲ πρὸς τὸν Ἰσαάκιον
more-despondently were-disposed having-looked and to — Isaac
Ἄγγελον ἤθελον ὑπείκειν τούτῳ καὶ ὡς σφῶν ἀρχηγῷ
Angelos they-wished to-yield to-him and as to-their commander
προσφέρεσθαι. οὗτος δὲ τὴν γνώμην ὑπόνωθρος ὢν
to-behave this(-man) and in-the mind somewhat-sluggish being
καὶ κατ' Αἰνείαν τοῦ μάχεσθαι ἀφιστάμενος, ὡς ἔοικε,
and like Aeneas from-the fighting standing-aside as it-seems

τὸ μέλλον εἰδὼς καὶ τὴν ἀποκειμένην αὐτῷ βασιλείαν
the future knowing and the stored-up for-him empire
ὡς ἐκεῖνος τὴν τοῦ γένους εὔκλειαν φανταζόμενος,
as that(-one) the of-the race glory imagining
οὐ περὶ πολλοῦ τὸν ἡγεμόνα ἐτίθετο. ἀμέλει τοι τὸ
not about much the leader set indeed surely the
στρατιωτικὸν ὑπεκλυόμενον κατὰ βραχὺ τοῦ προθύμου ἐς
military(-force) being-loosened by little from-the eagerness to
ξυμβάσεις ἤθελε χωρεῖν, καὶ τὸ γενναῖον ἐκεῖνο λῆμα καὶ
agreements wished to-go and the noble that spirit and
ἐνθεάζον ἀπέσβεστο τέλεον. σύνοδοι γοῦν κατὰ φατρίας
inspired was-quenched wholly meetings at-any-rate by clans
γινόμεναι εἶχον ἐκτραγῳδούμενα καὶ οἷον πρὸ ὀφθαλμῶν
happening had told-tragically and as-it-were before (the)-eyes
παριστάμενα ὅσα οἱ πολιορκηθέντες δεινότατα
presented as-many-as the(-ones) besieged most-terrible(-things)
πάσχουσι. καὶ τὴν Ἀνδρονίκου δὲ κατὰ νοῦν ἀπήνειαν
suffer and the of-Andronikos too in mind harshness
φέροντες, καὶ τὰς παντοδαπὰς κακώσεις ἀναπεμπάζοντες
bearing and the all-kinds-of ill-treatments counting-over
ταῖς φρεσὶν ὅσας πείσονται πολέμου νόμῳ ἁλούσης
in-the minds as-many-as they-will-suffer of-war by-law taken
τῆς πόλεως, κατέπτησσον ὡς λαγώδια, ἀπεναντίας τῷ
the city cowered as little-hares the-opposite —
Καινεῖ πεπονθότες· ὁ μὲν γὰρ ἐκ γυναικὸς εἰς ἄνδρα,
to-Kaineus having-suffered he indeed for from woman into man
ὡς ὁ μῦθος βούλεται, ἥρμοστο, οἱ δὲ ἐξ ἀνδρῶν εἰς
as the myth wishes was-fitted they and from men to
μαλακότητα γυναικείαν ἐξενευρίσθησαν, μηδενὸς ἔτι ὄντος
softness womanly were-unnerved nobody still being
τοῦ διὰ τῆς οἰκείας θερμῆς ὁρμῆς εἰς ἔργα ἀρετῆς
the(-one) through the own hot impulse to deeds of-virtue

ἀναθάλποντος, ἀλλὰ πάντων μετὰ τὸν τοῦ Καντακουζηνοῦ
warming but all after the — of-Kantakouzenos
μόρον συννεκρωθέντων οἷον τὸ θάρσος καὶ τὸ περὶ τὰς
fate having-died-with as-it-were the courage and the about the
μάχας ἀποθεμένων πρόθυμον. ἃ πάντα κατανοήσας
battles having-laid-aside eagerness which(-things) all having-perceived
ὁ τότε τῆς Νικαίας ἀρχιερεὺς Νικόλαος τὴν ἀνάγκην ἐς
the then — of-Nicaea high-priest Nicholas the necessity into
τὸ φιλότιμον διατίθησι, καὶ δὴ τὸν λαὸν ἐκκλησιάσας
the honorable disposes and indeed the people having-assembled
ὑποτίθησιν ἐνδοῦναι τῷ καιρῷ καὶ τοῖς πράγμασι,
suggests to-yield to-the time and to-the affairs
καὶ ἕως ἡ πόλις τοῖς κύμασι τῆς μάχης ἀβάπτιστος,
and while the city by-the waves of-the battle (is)-unsubmerged
ἐγχειρίσαι φέροντας Ἀνδρονίκῳ· ὁρᾶν γὰρ Ἀνδρόνικον
to-hand-it-over bringing to-Andronikos to-see for Andronikos
μὴ ἄν ποτε κεναῖς (ὅ φασιν) ἐπαναζεύξοντα χερσίν,
not — ever with-empty as they-say going-to-return with-hands
ὅτι μηδ' ἑπόμενά εἰσιν αὐτῷ τὰ ἀνθέλκοντα καὶ
because not-even following are with-him the(-things) pulling-back and
ἀντιπερισπῶντα ἑτέρωθι, καὶ ἑαυτοὺς δὲ κατὰ μικρὸν καὶ
drawing-away elsewhere and themselves too by little also
τῆς φυλακῆς ἀφισταμένους τῆς πόλεως καὶ πρὸς τὸ
from-the guard standing-away of-the city and toward the
τῆς εἰρήνης οἰκουρὸν ἀπονεύοντας. καὶ ὡς εὗρε πάντας
of-the peace home-keeping inclining and as be-found all
ἀγαθὴν τὴν παραίφασιν οἰομένους καὶ ἀμφοτέραις τοῦ
good the advice thinking and with-both(-hands) the
ἐκ ταύτης καλοῦ περιδραττομένους, τὴν ἱερὰν ἐρέαν
from it good grasping the holy wool(-robe)
ἐνδὺς καὶ ἀνὰ χεῖρας τὰ θεῖα δεξάμενος λόγια ἕπεσθαί

οἱ τοὺς ζακόρους κελεύει καὶ τὸ λοιπὸν τῆς πόλεως
him the sacristans he-orders and the rest of-the city
πλήρωμα, ὡς μηδὲ γυναῖκας ἢ νηπιάχους ἀπολειφθῆναι
complement so-that not-even women or infants to-be-left-out
τῆς ἐξελεύσεως, πάντας γυμνητεύοντας ὅπλου παντός,
of-the going-out all unarmed of-arm every
κλάδους ἱκετηρίους σείοντας, ἀκαλυφεῖς τὴν κάραν,
branches suppliant shaking uncovered in-the head
ἀκρηπιδώτους τοὺς πόδας, τὰς χεῖρας λελυμένους τῶν
unshod in-the feet the hands loosed from-the
ἱματίων, κατὰ μηδὲν τὸν ὡς ἀληθῶς ἱκέσιον ψευδομένους,
garments in nothing the as truly suppliant falsifying
ἀλλὰ καὶ σχήμασιν ἐλεεινοῖς καὶ ὑφειμένοις φθέγμασιν
but also with-gestures pitiable and lowered voices
ἐπισπωμένους τὸν οἰκτιζόμενον. καὶ οἱ μὲν οὕτω τῆς
drawing the pitying(-one) and they indeed thus from-the
πόλεως ἐξεχύθησαν, ὁ βασιλεὺς δ' Ἀνδρόνικος τῷ τῆς
city poured-out the emperor and Andronikos by-the of-the
θέας ἀέλπτῳ καταπλαγεὶς πολλάκις τοὺς ὀφθαλμοὺς εἰς
sight unexpectedness astounded often the eyes for
ἀκριβῆ τῶν θεωμένων διεσάλευεν ὅρασιν· ἀτεχνῶς
exact of-the(-things) seen swayed sight simply
γὰρ ὄναρ ἐδόκει βλέπειν τὰ τότε τελούμενα.
for (a)-dream he-seemed to-see the(-things) then being-done
ἐπεὶ δὲ ἀληθῆ τὴν ὄψιν καὶ πρὸς μηδὲν πλανῶσαν
when and true the sight and to nothing wandering
εἶχε καταμαθών, τὸ τοῖς βασιλεῦσι προσῆκον ἐλευθέριον
he-had having-learned the to-the emperors befitting liberal
φρόνημα καὶ τὸ τῆς γνώμης ἀκαπήλευτον παρωσάμενος
spirit and the of-the mind unadulterated having-pushed-aside
ὑπονοθεύει τὸν ἔλεον, καὶ τὴν λεοντῆν οὐκ ἔχων τῷ
adulterates the mercy and the lion-skin not being-able to-the

τέως ἀνακαλύπτειν τὴν ἀλωπεκῆν ὑποδύεται. καὶ τοίνυν
meanwhile to-uncover the fox-skin puts-on and therefore
οὐ μόνον τὸν ἀσμένως προσδεχόμενον πλάττεται, ἀλλὰ
not only the(-one) gladly receiving he-feigns but
μικροῦ καὶ κατήχθη πρὸς δάκρυα, τοῦτο δὴ τὸ ἀρχαῖον
by-little also was-brought-down to tears this indeed the ancient
Ἀνδρονίκῳ τῆς ἀληθείας συσκίασμα, τῶν τῆς ψυχῆς
for-Andronikos of-the truth shade of-the of-the soul
κινημάτων προσκίασμα. πλὴν οὐκ ἐπὶ πολὺ τὸ δρᾶμα
movements screen however not for long the drama
ὑποκρινάμενος, ἀλλὰ μετὰ καιρὸν ἀποδὺς ὡς ῥάκια
having-played but after (a)-time having-stripped as rags
τὰ ἁπαλὰ καὶ ὑπὲρ ἔλαιον λεῖα ῥήματα, ἐμφανῶς τοῖς
the soft and beyond oil smooth words plainly to-the
Νικαεῦσιν ὑπέδειξε, καὶ μάλιστα τοῖς κατ' ἀξίωσιν καὶ
Nicaeans showed and especially to-the(-ones) in dignity and
γένους σεμνότητα ὑπερέχουσιν, οἷαν ὁ γέρων ἐπιγουνίδα
of-race solemnity excelling what-sort the old-man thigh
τρέφει ὀργῆς καὶ ὅσον τὸν μετόπισθεν ὑποτύφων κότον
nourishes of-wrath and how-much the hereafter smoldering grudge
καὶ τὸ ἐχθραντικὸν καὶ μνησίκακον εἰς καιρὸν ἐταμιούχει
and the hostility and grudge-bearing for (a)-time he-stored-up
τὴν ἀνταπόδοσιν. πολλοὺς τοίνυν μετέπειτα τῆς πατρίδος
the requital many therefore afterward from-the fatherland
μετανάστας εἰργάσατο, τινὲς δ' ἀπὸ τῶν τειχῶν κύμβαχοι
emigrants he-made some and from the walls headlong
καταρριφέντες οἰκτρότατον ὑπέμειναν θάνατον.
thrown-down most-pitiable endured death

Andronikos impales the Persians around Nicaea and praises Isaac Angelos, nourishing the man who would kill him and take his throne; he sends him to Byzantium and besieges Prousa, shooting letters into the city that offer amnesty if it gives up Theodore Angelos, Lachanas, and Synesios. A breach brings a false alarm that the whole wall is falling, the walls empty, and the city is taken and plundered. Andronikos blinds the young Theodore Angelos and sends him on an ass beyond the border, where Turks take pity on him; he hangs Leo Synesios, Manuel Lachanas, and others from the trees, forty in all, and maims many more. Back in the city, when a barrier collapses at the races and kills six, he would have fled to the palace had his friends not held him.

τότε δὲ τοὺς Πέρσας ἀνασκολοπίσας κύκλῳ τῆς πόλεως,
then and the Persians having-impaled around the city
καὶ τὸν Ἄγγελον Ἰσαάκιον ἐπαινέσας ὧν ἔδρασε καὶ
and — Angelos Isaac having-praised for-what he-did and
ὧν εἴρηκε, μὴ μόνον τοὺς ὀδόντας εἰς ὅπλα καὶ βέλη οὐ
what he-said not only the teeth into arms and missiles not
μεταποιήσας ἐπ᾽ ἴσης τῷ Καντακουζηνῷ Θεοδώρῳ,
having-turned on equal(-terms) — with-Kantakouzenos Theodore
ἀλλὰ κἀκείνῳ ἐπιπλήξας πολλάκις κατὰ χριστοῦ κυρίου
but also-him having-rebuked often against (the)-anointed of-(the)-Lord
θρασυστομοῦντι καὶ ὡς ἐκ κουλεοῦ τοῦ στόματος
speaking-boldly and as from (a)-sheath of-the mouth
μάχαιραν ὀξεῖαν τὴν γλῶτταν ἕλκοντι, καὶ χρηστῶν
(a)-sword sharp the tongue drawing and with-good
ἐμπλήσας προσδοκιῶν, τὸ δ᾽ ἀληθέστερον εἰπεῖν τὸν
having-filled expectations the and more-truly to-say the
ἑαυτοῦ φονέα καὶ τῆς ἀρχῆς παραλύσοντα τρέφων κατὰ
his-own murderer and from-the rule going-to-remove nourishing by
θεῖον καὶ περιθάλπων εἰς τὸν τῇ προνοίᾳ δοκοῦντα
divine(-will) and cherishing for the by-the providence seeming

καιρόν, ἐκεῖνον μὲν ὀπίσω ἀποπέμπει πρὸς τὸ Βυζάντιον,
time him indeed back sends-away to — Byzantium
αὐτὸς δὲ πρὸς τὸ τῶν Προυσαέων μεταβαίνει πόλισμα
himself and to the of-the Prousans passes town
μετὰ τῶν ἐφεπομένων αὐτῷ στρατιωτικῶν τάξεων.
with the(-ones) following him military ranks
Καὶ δὴ κατὰ τὸ πρὸς μεσημβρίαν μέρος τῆς πόλεως
and indeed at the toward south part of-the city
βαλὼν χάρακα, καθὸ δὴ καὶ προσιτὸν ἐδόκει τὸ τεῖχος
having-thrown (a)-palisade where indeed also approachable seemed the wall
διὰ τὸ τοῦ χώρου ἰσόπεδον, μὴ ὡς ἡ λοιπὴ πόλις εἰς
because-of the of-the place level not as the rest city onto
πετρῆεν καὶ περιφερὲς αἰρόμενον γήλοφον καὶ ἀπότομον
rocky and round rising hill and sheer
προφαινόμενον, τῇ ἑξῆς ἔχεται τοῦ πολιορκεῖν. καὶ
appearing on-the next(-day) holds-to the besieging and
αἱ μὲν μηχαναὶ καὶ οἱ ἄνδρες οὐκ ἀεργῶς εἶχον
the indeed engines and the men not idly were
ἀλλ' ἔδρων τὸ πρόσφορον· αὐτὸς δ' Ἀνδρόνικος ῥέων
but did the useful himself and Andronikos flowing
τὸ λέγειν, ἀτράκτους βελῶν πετασίμους τιθεὶς λόγοις
in-the speaking spindles of-missiles outspread setting with-words
πτερόεσσιν ἐπηφίει κατὰ τῆς πόλεως. ἦσαν δὲ ἃ ἐδήλου
winged shot-at against the city were and what showed
τὰ φερόμενα ἐκεῖνα διαέρια γράμματα μεταβολῆς
the(-things) carried those through-the-air letters of-change
παραίφασις καὶ ἀμνηστία κακῶν, εἰ αὐτὸν μὲν εἴσω
exhortation and amnesty of-evils if him indeed inside
προσδέξονται τὰς πύλας ἀναπετάσαντες, Θεόδωρον δὲ τὸν
they-will-receive the gates having-thrown-open Theodore and the
Ἄγγελον καὶ τὸν ἀγοραῖον Λαχανᾶν καὶ τὸν ἀσύνετον
Angelos and the market-lounger Lachanas and the senseless

Συνέσιον, ἵνα ταῖς αὐτοῦ ἐκείνου χρησαίμην λέξεσι,
Synesios that with-the own that(-man's) I-may-use words
καὶ οἱ τούτοις ὁμόφρονες, θανάτῳ καταπροδώσουσι
and the(-ones) with-these like-minded to-death they-will-betray
συσχόντες. καὶ τοῦτο ἐφ' ἱκαναῖς ἐποίει ἡμέραις. οὐδὲ γὰρ
having-seized and this for sufficient he-did days not for
ὁ κατὰ Προῦσαν συγκροτούμενος πόλεμος τοῦ κατὰ
the at Prousa being-waged war than-the at
Νίκαιαν συστάντος τὸ ἔλαττον ἀπεφέρετο κατά τε ἀλκὴν
Nicaea having-arisen the less carried-off in both prowess
ἀνδρῶν συμπλεκομένων τοῖς βασιλείοις τάγμασι καὶ
of-men grappling with-the imperial units and
μῖσος τὸ ἐς Ἀνδρόνικον, ὃ καὶ τοῦ πολέμου αἴτιον
in-hatred the toward Andronikos which also of-the war (the)-cause
ἦν. καὶ αὐτὴ δὲ ἡ πόλις ἡ Προῦσα πᾶσα καλλίπυργός
was and itself too the city — Prousa all with-fair-towers
ἐστι καὶ ἰσχυρὸν περιβεβλημένη περίβολον, καὶ τοῦτον
is and strong having-been-surrounded-with (a)-circuit and this
ἀμφίδυμον κατὰ τὸ κλίμα τὸ νότιον. ἐν ᾧ καὶ ἐκδρομαὶ
double at the region the southern in which also sallies
πολλάκις τῆς ἡμέρας γινόμεναι συνῆπτον πρὸς ἄλληλα τὰ
often of-the day happening joined to one-another the
στρατεύματα, καὶ ἔπιπτον ἐξ ἀμφοτέρων συχνοί. ἐπεὶ δὲ
armies and fell from both(-sides) many since and
ἔδει καὶ τὴν πόλιν ταύτην ὑποκύψαι τῷ Ἀνδρονίκῳ
it-was-necessary also the city this to-bow — to-Andronikos
καὶ τοὺς πλείστους τῶν ἐν αὐτῇ χειρωθέντας παθεῖν
and the most of-the(-ones) in it subdued to-suffer
τὰ ἀνήκεστα, τοῦ τείχους τι ἀπελεπίσθη τῇ
the incurable(-things) of-the wall some(-part) was-peeled-off by-the
ἑλεπόλει συνεχῶς δρυπτόμενον· πρὸς δὲ τούτῳ καὶ τὸ
city-taker continually being-torn in-addition-to and this also the

κατ᾽ ἐκεῖνο τὸ μέρος προσεπίκτισμα καὶ ἱμάντωμα τοῦ
at that the part outer-building and bonding of-the
παλαιοῦ περιβόλου καταβληθὲν φαντασίαν τοῖς
old circuit having-been-thrown-down (an)-impression to-the(-ones)
ἔνδον παρέσχετο τοῦ τὸ τεῖχος ἅπαν, ὁπόσον ἡ ἑλέπολις
inside gave of-the the wall whole as-much-as the city-taker
ἔτυπτεν, ἐπὶ γόνυ κλιθῆναι κατασεισθέν. θροῦς οὖν ἐπὶ τῷ
struck on knee to-have-bent shaken (a)-murmur then at the
γενομένῳ τούτῳ ἄσημος αἴρεται, καὶ δέος τὰς ἁπάντων
having-happened this indistinct rises and fear the of-all
ἐκταράττει καρδίας. ὅθεν μὴ περιεργασθέντος τοῦ κακοῦ,
throws-into-confusion hearts whence not examined-closely the evil
ἀλλ᾽ ὅλων καὶ πρὸς μόνον τῶν ἐκτιναχθέντων λίθων τὸν
but all also at only of-the shaken-out stones the
δοῦπον ἐναποψυξάντων τῷ δέει μικροῦ, ἔρημα μὲν τὰ
thud having-swooned from-the fear by-little empty indeed the
τείχη τῶν ἐπ᾽ αὐτῶν ἀμυνομένων εἰάθησαν, αἱ δ᾽ ἀγυιαὶ
walls of-the(-ones) on them defending were-left and the streets
εἶχον ἀλιζομένους ὡς ἐπ᾽ ἀμηχάνοις τοὺς ὑποκαταβάντας
had gathered as at helpless(-things) the(-ones) having-come-down
ἐκ τῶν τειχῶν. καὶ τὸ ἐντεῦθεν ἄνετος μὲν τοῖς πολεμίοις
from the walls and the thence free indeed to-the enemies
ἡ διὰ πυλῶν καὶ τείχους κλιμάκων ἐπενηνεγμένων
the through gates and wall of-ladders having-been-brought-against
εἰς τὴν πόλιν εἴσοδος ἦν, αὐτοῖς δὲ τοῖς Προυσαεῦσι
into the city entry was to-themselves and the Prousans
καταλαμβανομένοις ἀνηλεὴς ἀναίρεσις καὶ τῶν προσόντων
being-caught pitiless killing and of-the possessions
διαρπαγὴ καὶ τῶν βοσκημάτων κατακοπή, ἃ δὴ κατὰ
plundering and of-the of-herds cutting-down which indeed in
πώεα καὶ ὅλα βουκόλια εἰσηλάθησαν, ὡς ἔχοιεν ᾧ
flocks and whole herds-of-cattle had-been-driven-in so-that they-might-have by-what

τραφήσονται οἱ ἐντὸς ἐπιτεινομένης τῆς πολιορκίας. καὶ
would-be-fed the(-ones) inside being-stretched the siege and
τότε μὲν ἐν τοιούτοις ἦσαν δεινοῖς τὰ τελούμενα·
then indeed in such were terrible(-things) the(-things) done
ἐπεὶ δὲ καὶ ὁ βασιλεὺς Ἀνδρόνικος εἰσεληλύθει τὸ πόλισμα
when and also the emperor Andronikos had-entered the town
καὶ ἐνηυλίσατο ἔνδοθεν, οὔθ' ὡς βασιλεὺς πραῢς καὶ σώζων
and lodged inside neither as emperor gentle and saving
ὑπηκόοις οὖσι πάλαι καὶ αὖθις ἐσομένοις, κἂν πρὸς καιρὸν
to-subjects being of-old and again going-to-be even-if for (a)-time
ἀπέστησαν, τοῖς Προυσαεῦσιν ἐχρήσατο, οὔθ' ὡς ἁπλῶς
they-revolted the Prousans he-treated nor as simply
ἄνθρωπος ὁμοφυέσιν ἀνδράσιν ἡμέρως προσενήνεκται· ἀλλ'
(a)-man to-kindred men gently behaved but
ὡς θὴρ ὀργικὸς ἀπόσιτος ἱκανῶς ἀσηκάστοις ἐμπεσὼν καὶ
as (a)-beast wrathful without-food sufficiently on-unpenned having-fallen and
ἀποιμάντοις θρέμμασι τοῦ μὲν αὐχένα κατέαξεν, ἄλλου δ'
unshepherded flocks of-one indeed (the)-neck broke of-another and
ἐλάφυξεν ἔγκατα καὶ ἄλλως ἔθετο χειρίστως ἕτερον, τὰ
devoured (the)-entrails and otherwise placed worst another the
δὲ λοιπὰ κρημνοῖς καὶ ὄρεσι καὶ βαράθροις διασπαρέντα
and rest over-cliffs and mountains and pits scattered
παρέπεμψεν, οὕτω καὶ τότε Ἀνδρόνικος μὴ προηγησαμένης
sent thus also then Andronikos not having-preceded
ὁμολογίας τε καὶ σπονδῆς μετὰ τοῦ τῶν Προυσαέων
agreement both and truce with the of-the Prousans
πληρώματος ἢ ἑκουσίας προβάσης παραδοχῆς, ἀλλὰ
complement or voluntary having-gone-before reception but
πολέμῳ ἡλωκυίας τῆς πόλεως, πλείστους ὅτι μάλιστα
by-war taken the city very-many as most
διέφθειρε καὶ ἠφάνισεν, εἰς πολυειδεῖς καὶ πολυτρόπους
destroyed and made-vanish into many-formed and many-mannered

κολάσεις τὸ τοῦ θυμοῦ καταμερίσας ἀλλόκοτον. Θεόδωρον
punishments the of-the wrath having-divided strangeness Theodore
μὲν γὰρ τὸν Ἄγγελον ἠΐθεον ὄντα καὶ τὸν ἴουλον πρώτως
indeed for the Angelos (a)-youth being and the down first
χνοάζοντα τίθησιν ἐξόμματον, καὶ ὄνῳ ἀναβληθέντα
growing makes eyeless and on-(an)-ass put
καὶ τῶν Ῥωμαϊκῶν ὁρίων ὑπερέκεινα ἀπαχθέντα εἶτα
and of-the Roman borders beyond led-off then
κελεύει διαφεθῆναι, ἵνα ὅπῃ τὸ ὑποζύγιον ὁρμῴη
orders (him)-to-be-let-go that wherever the beast-of-burden rushed
αὐτόματον φερόμενος πλάζοιτο. καὶ τάχ᾽ ἂν θηρίοις
of-its-own-accord carried he-might-wander and perhaps — to-beasts
ἐγεγόνει κατάβρωμα, ὃ καὶ ὁ τὴν τιμωρίαν ταύτην
would-have-become food which also the the punishment this
ἐκείνῳ ἐπιθεὶς Ἀνδρόνικος προεσκέψατο, εἰ μὴ Τοῦρκοι
on-him having-laid Andronikos foresaw if not Turks
ἐγκύρσαντες ᾤκτειράν τε τὸν μείρακα καὶ εἰς τὰς αὐτῶν
having-met pitied both the lad and into the their
σκηνὰς ἀπαγαγόντες θεραπείας ἠξίωσαν. τὸν δὲ Συνέσιον
tents having-led-away of-care deemed-worthy — and Synesios
Λέοντα καὶ τὸν Λαχανᾶν Μανουὴλ καὶ συχνοὺς ἄλλους
Leo and — Lachanas Manuel and many others
τοῖς τῶν παραπεφυκότων τῇ Προύσῃ δένδρων ἀκρέμοσιν
on-the of-the growing-beside — Prousa trees' branches
ἀπεκρέμασε, τὸν δέκατον τετραπλῶς ἀποσώζοντας ἀριθμόν.
hung the tenth fourfold preserving number
πολλαπλασίονας δ᾽ ἑτέραις ὑποβεβλήκει ποιναῖς· ὧν
many-times-more and to-other subjected penalties of-whom
μὲν γὰρ χεῖρας ἀπέτεμεν, ὧν δὲ δακτύλους ὡς ἀμπέλων
indeed for hands he-cut-off of-whom and fingers as of-vines
περιέκειρε κλάδους, τινῶν δὲ πόδας ἀφῄρηκε. πολλοὶ δὲ
clipped branches of-some and feet he-took-off many and

χειρῶν καὶ ὀφθαλμῶν ὑπέστησαν στέρησιν· ἦσαν δ᾽ οἳ
of-hands and of-eyes underwent deprivation were and (those)-who
καὶ ὀφθαλμὸν δεξιὸν καὶ πόδα εὐώνυμον ἐζημίωντο, καὶ αὖ
also (the)-eye right and foot left were-mulcted and in-turn
τοὐναντίον ἐπεπόνθεισαν ἕτεροι. καὶ οὕτως ἀπανθρώπως
the-opposite had-suffered others and thus inhumanly
τὸ ἐν ῥώμῃ σώματος καλλιστεῦον καὶ στρατιωτικῇ
the(-part) in strength of-body most-beautiful and in-military
ἐξαίρετον ἐμπειρίᾳ τὴν οἰκείαν ζημιώσας βασιλείαν
outstanding experience the own having-damaged empire
Ἀνδρόνικος μεταίρει πρὸς τὸ Λοπάδιον. κἀκεῖ τὰ ὅμοια
Andronikos moves to — Lopadion and-there the like(-things)
δράσας, καὶ τῶν ἐπισκόπων ἕνα στερήσας τῶν ὀφθαλμῶν
having-done and of-the bishops one having-deprived of-the eyes
ὡς μὴ κατὰ τῶν ἐκ τῆς ποίμνης ἐκείνου ἀγανακτοῦντα
as not against the from the flock his being-indignant
στασιωτῶν, ἀλλὰ πράως οὕτω καὶ ὁμαλῶς τὴν κατὰ
rebels but gently thus and evenly the against
τοῦ βασιλέως Ἀνδρονίκου φορὰν ἐκείνων προσιέμενον
the emperor Andronikos rush of-those admitting
καὶ ἀνεπεγκλήτως θεώμενον, ἐπάνεισιν εἰς τὰ βασίλεια
and blamelessly viewing he-returns to the palace
τοιούτοις γεγανωμένος τροπαιουχήμασι, τὰς τῶν Προυσαέων
with-such brightened trophies the of-the Prousans
ἡμερίδας καταλιπών, αἳ περιπλέγδην τὰ δένδρα ἀνέτρεχον,
vines having-left which twining the trees ran-up
βαρυνομένας τοῖς τῶν κρεμασθέντων σώμασιν ὡς
weighed-down with-the of-the(-ones) hanged bodies as
ἄλλοις βότρυσι, καὶ μηδένα τῶν ἀνασκολοπισθέντων
with-other grapes and nobody of-the(-ones) impaled
ἀφεὶς ὡς ληνοῖς δοθῆναι τοῖς σήμασιν, οὓς καὶ
having-let-go so-that to-wine-presses to-be-given to-the tombs whom also

τερσῆνας ἥλιος ἀνέμοις περιφέρεσθαι ἀνῆκε κατὰ τὰ ἐν
having-dried (the)-sun by-winds to-be-carried-about let as the in
συκιηλάτοις ὑπὸ τῶν ὀπωροφυλάκων αἰωρούμενα φάσματα.
fig-orchards by the fruit-watchers hung scarecrows
Εἰς δὲ τὴν Κωνσταντίνου πόλιν ἐπανιὼν καὶ παρὰ τοῦ
into and the of-Constantine city returning and by the
δήμου φωναῖς εὐφήμοις δεξιωθείς, καὶ ταῖς τῶν κολάκων
people with-voices auspicious welcomed and by-the of-the flatterers
προσλαλιαῖς, οὓς ἀεὶ παρατρέφουσι τὰ ἀνάκτορα, τὸ
addresses whom always rear-beside(-them) the palaces the
μεγαλόφρον πλεῖον κτησάμενος, εἰς θεωρεῖα καὶ ἁμίλλας
high-mindedness more having-acquired to spectacles and contests
ἵππων θερείας οὔσης τῆς ὥρας ἐτράπετο, ὅτε καί
of-horses summer being the season he-turned when also
τινων ἐκ τῶν κατὰ τὸ βασιλικὸν ἑδρίασμα δρυφάκτων
some of the at the imperial seat lattices
καταβληθέντων καὶ περὶ τοὺς ἓξ ἄνδρας ἀνῃρηκότων,
having-been-thrown-down and about the six men having-killed
καὶ τοῦ θεατρομανοῦς ὄχλου ἐπὶ τῷ συμβάντι τούτῳ
and the theater-mad crowd at the having-happened this
διαθροηθέντος, ὥρμησε τοῦ θώκου ἐξαναστῆναι καὶ
being-in-uproar he-rushed from-the seat to-stand-up and
μεταχωρῆσαι πρὸς τὰ βασίλεια, τῷ δέει ἀλλοιωθεὶς καὶ
to-withdraw to the palace by-the fear changed and
τοὺς δορυφόρους συνηθροικώς, εἰ μὴ τὸ περὶ ἐκεῖνον
the bodyguards having-gathered if not the about him
εὔνουν ἱκέτευσαν ἀποστῆναι ὡς ἀτόπου τοῦ
well-disposed(-part) begged (him)-to-desist as from-out-of-place the
τοιούτου βουλεύματος, καὶ ἐμπέδως ἵζάνειν παρέπεισαν
such plan and steadfastly to-sit persuaded
ὡς αὐτίκα εἰ ἐξανασταίη ἀπολούμενον, τοῦ δήμου
as at-once if he-stood-up going-to-perish the people

συσπειραθέντος εἰς ἓν καὶ κατ᾽ ἐκείνου καὶ τῶν ὅσοι
having-coiled-together into one and against him and of-the(-ones) as-many-as
περὶ αὐτὸν ἐφορμήσαντος. μικρόν τι γοῦν ἐπιμείνας
about him rushing-against little something at-any-rate having-stayed
τὸν ἱππικὸν μόνον καὶ γυμνικὸν τετέλεκεν ἄεθλον, τῶν δ᾽
the horse-race only and athletic(-one) completed contest of-the and
ἐπεισοδίων θεαμάτων ἀπέσχετο τέλεον, ἐν οἷς διαχέουσι τὸ
interlude spectacles abstained wholly in which melt the
θεώμενον οἱ διὰ μηρίνθων εἰς ὕψος ἀναρριχώμενοι καὶ
viewing(-crowd) the(-ones) by ropes into height climbing and
ὑπὸ μικρῷ καὶ λεπτῷ τῷ συνέχοντι καλωδίῳ ἐπορχούμενοι
on small and thin the holding rope dancing
διαέριοι, ἔτι δὲ οἱ πτηνόποδες λαγίναι καὶ κύνες αἱ
in-the-air further and the wing-footed hares and dogs the
θηρευτικαί, φιλοτοιούτους ἀποδεικνύντα τοὺς ἀήθεις
hunting such-loving showing the unaccustomed
θεατροβάμονας. καὶ ταῦτα μὲν ὧδέ πη ἐφέρετο.
theater-goers and these(-things) indeed thus somehow went

V · ISAAC KOMNENOS IN CYPRUS

Isaac Komnenos, grandson of the sebastokrator Isaac, had governed Armenia and Tarsos for Manuel and been captured by the Armenians; ransomed by the brothers of Jerusalem, with Andronikos contributing to the ransom at Theodora's suggestion, he refuses to submit. With money sent from Byzantium he sails to Cyprus, presents forged imperial letters, and makes himself tyrant, surpassing Andronikos in cruelty with murders, rapes, and confiscations. Niketas laments with the prophet that the way of the wicked prospers. Andronikos, who has long feared the letter iota, seeks a way to destroy him.

Ἦν δέ τις ἀνὴρ τοὔνομα Ἰσαάκιος, γένους ἄριστα
there-was and some man by-name Isaac of-race best
ἥκων, ἕτερος παρὰ τὸν Ἄγγελον Ἰσαάκιον, θυγατρὸς
having-come another beside — Angelos Isaac of-(a)-daughter
παῖς Ἰσαακίου τοῦ σεβαστοκράτορος, ὃν ὁ λόγος
(the)-child of-Isaac the sebastokrator whom the account
τῆς ἱστορίας ἁπτόμενος κασίγνητον τοῦ βασιλέως εἴρηκε
of-the history touching brother of-the emperor called
Μανουήλ. ἀλλ᾽ οὗτος δὴ ὁ Ἰσαάκιος παρὰ τοῦ πρὸς
Manuel but this(-man) indeed — Isaac by the on
πατρὸς θείου καὶ βασιλέως, τοῦ Κομνηνοῦ Μανουήλ,
(the)-father's(-side) uncle and emperor — Komnenos Manuel
τὰ κατ᾽ Ἀρμενίαν διέπειν λαχὼν καὶ ἄρχειν
the(-parts) at Armenia to-administer having-obtained and to-rule
Ταρσοῦ καὶ στρατηγεῖν ὁπόσα τοῖς ἐκεῖ προσκεκλήρωται,
Tarsos and to-command as-many-as to-the there have-been-allotted
συρρήγνυσι μετὰ τῶν διαφόρων Ἀρμενίων πόλεμον, καὶ
breaks-out with the hostile Armenians war and
ἁλοὺς ἐν φρουρᾷ καθείργνυται (φθάνει δὲ θανὼν καὶ
having-been-taken in prison is-shut-up anticipates and having-died also
ὁ βασιλεὺς Μανουήλ), καὶ τοῦτο ἐς ἡλίους πολλούς. ὀψὲ
the emperor Manuel and this for suns many late
δὲ πρὸς τῶν Ἱεροσολυμιτῶν λυθεὶς οὓς φρερίους φασίν,
and by the Jerusalemites released whom brothers(-knights) they-call
ἔσχεν εὔθετον τὴν πρὸς τὴν πατρίδα ἐπάνοδον, Ἀνδρονίκου
he-had convenient the to the fatherland return Andronikos
συναραμένου πρὸς τὰ λύτρα ὑποθημοσύνῃ Θεοδώρας, ἥπερ
helping toward the ransom at-(the)-suggestion of-Theodora whom
ὁ μὲν Ἀνδρόνικος, ὡς πολλάκις εἴπομεν, ἐπλησίαζεν, ὁ
— indeed Andronikos as often we-said consorted-with —
δ᾽ Ἰσαάκιος οὗτος ἀδελφιδοῦς ἦν. ἐνῆγον δὲ Ἀνδρόνικον
and Isaac this(-man) (a)-nephew was urged and Andronikos

εἰς τὸ προσδέξασθαι τὸν Ἰσαάκιον καὶ τῆς χρονίου
to the to-receive — Isaac and the long
κατοικτεῖραι ἀποδημίας ὁ Μακροδούκας Κωνσταντῖνος
to-pity absence — Makrodoukas Constantine
τῇ πρὸς μητρὸς Ἰσαακίου θείᾳ συνευναζόμενος, καὶ
with-the on (the)-mother's(-side) of-Isaac aunt sleeping-with and
Ἀνδρόνικος ὁ Δούκας συνήθης ὢν ἐκ παίδων Ἰσαακίῳ
Andronikos the Doukas familiar being from boys with-Isaac
καὶ κατὰ γένος αὐτῷ προσεγγίζων. οὗτος τοίνυν ὁ
and by race to-him being-near this(-man) therefore —
Ἰσαάκιος Ἀνδρονίκῳ τῷ βασιλεῖ οὐχ ὑπείκειν ἐθέλων καὶ
Isaac to-Andronikos the emperor not to-yield wishing and
τὴν πατρίδα ὡς ἐν ἀστράσι φανταζόμενος καὶ συγγενείας
the fatherland as among stars imagining and of-kinship
ἢ ἐρατεινῆς ὁμηλικίας οὐδένα λόγον τιθέμενος, τυραννίδος
or of-lovely comradeship no account making tyranny
δ' ἐρῶν καὶ ἀρχῆς ἔφεσιν τρέφων, οὐ μὴν ὑποκύπτειν
and loving and of-rule desire nourishing not indeed to-bow
ἀνεχόμενος ἄρχουσιν, ἐφοδίοις χρῆται καὶ συνερίθοις τοῖς
enduring to-rulers as-provisions uses and helpers the
πεμφθεῖσιν αὐτῷ ἐκ Βυζαντίου χρήμασιν εἰς τὸ κακοβούλως
sent to-him from Byzantium money for the with-evil-counsel
ἀρχὴν ἑαυτῷ μνηστεύσασθαι. τοίνυν μετὰ χειρὸς συχνῆς
rule for-himself to-court therefore with (a)-band numerous
καταπλεύσας ἐς Κύπρον τὰ μὲν πρῶτα τὸν ἔννομον
having-sailed-down to Cyprus the indeed first the lawful
καὶ πρὸς βασιλέως ἀπεσταλμένον δυνάστην ὑπεζωγράφει,
and by (the)-emperor sent lord counterfeited
βασιλικὰ ὑποδεικνύων τοῖς Κυπρίοις γράμματα, ἅπερ
imperial showing to-the Cypriots letters which
αὐτὸς συνέθετο, καὶ διαταγὰς ἀναγινώσκων αὐτοκρατορικὰς
himself composed and ordinances reading imperial

ἐπιπλάστους, τὸ ποιητέον δῆθεν ὑποτιθεμένας ἐκείνῳ, καὶ
fictitious the to-be-done supposedly suggesting to-him and
τἆλλα διαπραττόμενος ὅσα οἱ ὑφ' ἑτέρων ἄρχειν
the-rest doing as-many-as the(-ones) by others to-rule
ταχθέντες πρὸς ἀνάγκης ποιεῖν ἔχουσι, μετ' οὐ πολὺ δὲ
appointed of necessity to-do have after not much and
τὸν τυραννοῦντα παραγυμνώσας, καὶ ἣν ἔτρεφεν ἀπήνειαν
to-suffer being-in-danger and there-were (those)-who nodded to
τὴν αἴτησιν καὶ ᾤκτειρον τῆς ἐνεστώσης τύχης τοὺς
the request and pitied for-the present fortune the
ἄνδρας. ἐπεὶ δὲ τῶν ἐκ τοῦ βασιλέως οὐδεὶς παρῆν
men when and of-the(-ones) from the emperor nobody was-present
ἀγανακτῶν ἐπὶ τοῖς γεγενημένοις τούτοις, οὐ τῶν
being-indignant at the(-things) having-happened these not of-the(-ones)
γένει λαμπρῶν, οὐ τῶν Ἀνδρονίκῳ τηρούντων εὔνοιαν,
in-race brilliant not of-the(-ones) for-Andronikos keeping goodwill
οὐ πελεκυφόρος βάρβαρος, οὐχ οἱ τὰ ὑσγινοβαφῆ
not axe-bearing barbarian not the(-ones) the scarlet-dyed
φοροῦντες ῥαβδοῦχοι, οὐ τῶν ἁπάντων τις ἕτερος, ἔτι
wearing rod-bearers not of-the all anyone other still
μᾶλλον οἱ συλλεγέντες ἦσαν θρασεῖς, καὶ λελυμένῃ
more the(-ones) gathered were bold and with-loosed
καὶ ἀχαλίνῳ γλώττῃ ἐχρῶντο, τῇ τῶν κωλυσόντων
and unbridled tongue used by-the of-the(-ones) going-to-hinder
ἐρημίᾳ πτερούμενοι, καὶ πᾶσαν βοήθειαν συνεισενεγκεῖν
absence winged and every help to-contribute
ἐπηγγέλλοντο. ὅλην μὲν οὖν τὴν τότε νύκτα οὕτω
promised whole indeed then the then night thus

παρίππευσεν Ἰσαάκιος, οὐ λόγον βασιλείας τιθέμενος
rode-by Isaac not account of-empire making
ἀλλὰ περὶ τοῦ μὴ κατατυθῆναι δεόμενος· ᾔδει γὰρ
but for the not to-be-slaughtered asking he-knew for
τὸν Ἀνδρόνικον ὡς βοῦν αὐτὸν ἱερεύσοντα ἢ μᾶλλον
— Andronikos as (an)-ox him going-to-sacrifice or rather
καὶ ὠμῶν τῶν αὐτοῦ σαρκίων ἀπογευσόμενον κατὰ
also of-raw the his flesh going-to-taste like
Κύκλωπα, καὶ θερμῷ ἔτι σταζομένων αἵματι. ἐκ δὲ τῆς
(a)-Cyclops and with-warm still dripping blood from and the
ἐπιμελοῦς ἱκετείας ἔσχε τινὰς τῶν συνειλεγμένων τὰς
careful supplication he-got some of-the(-ones) gathered the
πύλας ἐπικλίναντας τοῦ νεὼ καὶ φῶτα εἰσενέγκαντας
gates having-closed of-the temple and lights having-brought-in
καὶ τῷ καθ' ἑαυτοὺς ὑποδείγματι τούτῳ πολλοὺς
and by-the by themselves example this many
συμπείθοντας μὴ μεθίστασθαι οἴκαδε. πρωΐας δὲ γενομένης
persuading not to-depart home at-dawn and having-come
οὐκ ἦν ὅστις οὐ παρῆν οἰκήτωρ τῆς πόλεως, οὐδ'
not was(-there) whoever not was-present inhabitant of-the city nor
ἐθεοκλύτει αὐτοκρατορήσειν μὲν Ἰσαάκιον, Ἀνδρόνικον
prayed-to-God to-be-autocrat indeed Isaac Andronikos
δὲ καθαιρεθῆναι τῆς βασιλείας καὶ συλληφθέντα παθεῖν
and to-be-deposed from-the empire and seized to-suffer
ὁπόσα δέδρακε τῇ τῶν ὅλων σχεδὸν ἐπιβουλεύων ζωῇ.
as-many-as he-has-done to-the of-the all nearly plotting life

Andronikos, away at the Meloudion, only writes to calm the city, and the crowd breaks open the prisons and arms itself. A sacristan crowns Isaac with Constantine's crown from above the altar; John Doukas offers his bald head for it and the people refuse him. Andronikos shoots arrows from a tower of the palace and offers to abdicate for his son Manuel, which only enrages the mob. When they break through the Karea gate, he throws off his purple shoes and his cross, puts on a barbarian cap, and flees by ship with the empress Anna and the courtesan Maraptike.

Ἔτυχε μὲν οὖν τῷ τότε κατὰ θεῖον, ὡς ἔοικε,
it-happened indeed then at-the then(-time) by divine(-will) as it-seems
μὴ παρεῖναι τοῖς ἀρχείοις Ἀνδρόνικον, ἀλλ' ἐς τὸ ἑῷον
not to-be-present at-the palace Andronikos but on the eastern
μέρος τοῦ ἀναπλεομένου τῆς Προποντίδος πορθμοῦ περὶ
part of-the sailed-up of-the Propontis strait at
τὰ τοῦ Μηλουδίου κεκλημένα διατρίβειν βασίλεια. ἔνθεν
the — of-Meloudion called to-stay palace thence
τοι καὶ περὶ τὴν πρώτην φυλακὴν τῆς νυκτὸς τὸν
surely also about the first watch of-the night the
τοῦ Ἁγιοχριστοφορίτου θάνατον ἐνωτισάμενος τότε μὲν
— of-Hagiochristophorites death having-heard then indeed
ἔμεινε κατὰ τόπον, μηδέν τι ἐπιτάξας ἕτερον ἢ
he-remained in place nothing at-all having-ordered other than
γραμματίῳ βραχεῖ τοὺς μεγαλοπολίτας δεξιωσάμενος,
with-(a)-little-letter short the great-city's-citizens having-greeted
παύσασθαι παραινῶν τοῦ νεωτέροις ἐγχειρεῖν πράγμασιν,
to-cease exhorting from-the in-newer to-undertake affairs
οὕτω πως ἀρχομένῳ „ὁ λαβὼν ἔλαβεν, ἡ δὲ
thus somehow to-(one)-beginning the(-one) having-taken took the and
δίκη ἐκόπη." ἡμέρας δὲ διαγελασάσης, ὅσοι τε
penalty was-cut-off day and having-broken-into-laughter as-many-as both

Ἀνδρόνικον ἐθεράπευον, καταστέλλειν ἐπειρῶντο τὸν ὄχλον
Andronikos courted to-restrain tried the crowd
κυμαινόμενον, καὶ αὐτὸς Ἀνδρόνικος κατὰ τὸ μέγα παλάτιον
surging and himself Andronikos at the great palace
παραγίνεται τριήρει βασιλικῇ. ἀλλ' οὐδὲ μία τις ἦν
arrives with-(a)-trireme imperial but not-even one any was
ἀναστολὴ τῆς τοῦ λεὼ συρροῆς, οὔτ' αὐτὸς Ἀνδρόνικος
check of-the of-the people flowing-together nor himself Andronikos
εἰς τὸ ἀρχεῖον κατιέναι ἀπαγγελλόμενος ἐξέκρουσέ τινας
to the palace to-come-down announced knocked-out some
τῆς ὁρμῆς. ἀλλ' οὐδὲ ὁ εἰσηγούμενός τι ἕτερον
from-the rush but not-even the(-one) proposing something other
παῦον τὴν συνδρομὴν εἰς ὦτα ἐῴκει λέγειν ἀκουόντων·
stopping the running-together into ears seemed to-speak of-(men)-hearing
πολλοὶ μὲν οὖν καὶ ἐγγὺς τοῦ τεθνάναι ἤλθοσαν μόνον
many indeed then also near to-the to-have-died came only
ὑπογρύξαντες καὶ μὴ καλὸν ἔργον γίνεσθαι φάμενοι.
having-grumbled and not (a)-good deed to-be-happening having-said
ἀλλ' ὡς ἐξ ἑνὸς συνθήματος πάντες παγγενεί τε καὶ
but as from one signal all with-all-their-kin both and
πανδημεὶ ἔθεον ἔνθους καὶ ἀτεχνῶς κορυβαντιῶντες
with-all-the-people ran inspired and simply raving-like-Corybants
εἰς τὸ τοῦ θεοῦ λόγου μέγιστον τέμενος, ἀλλήλους
to the — of-God Word greatest precinct one-another
παραθήγοντες, ἐρεσχελοῦντες τοὺς μὴ ταυτοζήλους μήτε
whetting mocking the(-ones) not like-zealous nor
μὴν τὰς χεῖρας ὁπλίζοντας ὅπλῳ ὁτῳδή, ἀλλ' ἀργοὺς
indeed the hands arming with-weapon any-whatever but idle
οὕτως ἑστῶτας καὶ θεωμένους τὰ παρ' ἄλλων
thus standing and viewing the(-things) by others
γινόμενα. οἱ δὲ λογικῶν μαθημάτων ἐν μεθέξει
happening the(-ones) and of-rational learning in partaking

καὶ μέλος ἀπεκάλουν αὐτοὺς σεσηπός, μὴ συμπάσχον
also (a)-limb called them rotten not suffering-with
τῷ λοιπῷ τῆς πολιτείας σώματι καὶ πληρώματι. ἐπὶ
the rest of-the citizenry body and fullness upon
τούτοις διαθλῶσι τὰς κλεῖς καὶ τοὺς ὀχέας τῶν δημοσίων
these they-break the keys and the bars of-the public
φρουρῶν, καὶ τοῖς φυλακίταις τιθέασι τὴν ἔξοδον ἄνετον,
prisons and for-the prisoners make the exit free
οὐ πᾶσιν οὖσι κακούργοις, ἀλλὰ καὶ γένους μετειληχόσι
not all being criminals but also of-race having-partaken
λαμπροῦ, κακουχουμένοις δ' ὅμως ἐν δεσμωτηρίοις
brilliant ill-treated and nevertheless in jails
διά τι συμπεσὸν βραχὺ ἁμάρτημα ἢ παράφθεγμα
because-of some having-happened slight offense or slip-of-the-tongue
ἢ καὶ φίλου κακούργημα προβὰν ἐς Ἀνδρόνικον.
or also of-(a)-friend misdeed having-gone-forward to Andronikos
τοῦτο δ' ἔτι μάλιστα τὸ πλεῖον συναγήοχε τοῦ λαοῦ,
this and still most the more(-part) has-gathered of-the people
καὶ τοὺς κατ' Ἀνδρονίκου τονθορύζοντας πρότερον καὶ
and the(-ones) against Andronikos muttering before and
ὀκνοῦντας τὴν πρᾶξιν ὡς κίνδυνον ὑποφαίνουσαν εἰς
shrinking-from the deed as danger suggesting to
ἐναντίαν μοῖραν μετέστησεν ἀκραιφνῶς. ἦν οὖν
(the)-opposite part changed wholly it-was(-possible) then
ἐκ τοῦδε ἰδεῖν ξιφηφοροῦντας καὶ θυρεοφόρους καὶ
from this(-time) to-see sword-bearing and shield-bearing and
πεφραγμένους θώραξιν οὐ βραχεῖς, τοὺς δὲ πλείστους
fenced with-breastplates not few the and most
ῥοπάλοις καὶ τοῖς ἐκ τῶν ἐργαστηρίων ξύλοις τὰς χεῖρας
with-clubs and with-the from the workshops timbers the hands
ὁπλίσαντας. καὶ συναγωγῆς πλείστης λαοῦ μεθ' ὁρμῆς
having-armed and (a)-gathering very-great of-people with rush

τοιαύτης γεγενημένης βασιλεὺς αὐτοκράτωρ Ῥωμαίων
such having-happened emperor autocrat of-(the)-Romans
ἀναγορεύεται Ἰσαάκιος, τινὸς τῶν νεωκόρων τὸ τοῦ
is-proclaimed Isaac (a)-certain of-the sacristans the of-the
μεγάλου Κωνσταντίνου στέφος, ὅπερ ἄνωθεν ἀπηώρητο
great Constantine crown which above hung
τραπέζης τῆς μυστικῆς, κατενεγκόντος διὰ κλίμακος
of-(the)-table the mystic having-brought-down by (a)-ladder
καὶ τῇ τοῦ Ἰσαακίου κεφαλῇ ἐφαρμόσαντος. ἵνα δὲ
and to-the — of-Isaac head having-fitted that and
μηδὲ τοῦτο εἴη ἀνιστόρητον καὶ ἀκοαῖς ἀπεριήχητον
not-even this might-be unrecorded and to-ears unsounded
τῶν ἐς ἔπειτα, ὁ μὲν Ἰσαάκιος ἐδυσκόλαινε πρὸς τὴν
of-the(-ones) for hereafter — indeed Isaac was-reluctant toward the
στεφηφορίαν οὐχ ὡς ἔρωτα μὴ τρέφων ἀρχῆς, ἀλλ' ὡς
crown-wearing not as love not nourishing of-rule but as
ὑφορώμενος τὸ τοῦ πράγματος ἐργῶδές τε καὶ δυσέφικτον,
suspecting the of-the affair laborious both and hard-to-reach
καὶ ὄναρ οὐχ ὕπαρ ἄντικρυς ἐπιτελεῖσθαί οἱ τὰ
and (a)-dream not (a)-waking-vision outright to-be-accomplished for-him the
παρόντα οἰόμενος, ὑποβλεπόμενος δὲ καὶ τὴν Ἀνδρονίκου
present(-things) thinking suspecting and also the of-Andronikos
ὀργιλότητα, καὶ μὴ ἐντεῦθεν ἐκμῆναι τοῦτον πλειόνως
wrathfulness and not hence to-madden him more
βουλόμενος. συνεστὼς δὲ ὁ δηλωθεὶς ἄνωθεν Δούκας,
wishing standing-with(-him) and the shown above Doukas
τὸν πῖλον τῆς κεφαλῆς ἀφελόμενος, ἑαυτῷ περιθέσθαι
the cap from-the head having-taken-off on-himself to-put
ἱκέτευε τὸ διάδημα, ἐψιλωμένον τριχῶν προδεικνὺς κρανίον
begged the diadem stripped of-hair showing (his)-skull
καὶ τὴν φαλάκραν ὡς πλησίφωτον σελήνην ὑπερφαίνουσαν.
and the baldness as (a)-full moon shining-forth

ὁ δ᾽ ὄχλος ἀπηναίνοντο φάσκοντες μηκέτι γέροντα ἄρχειν
the and crowd refused saying no-longer (an)-old-man to-rule
βούλεσθαι ἢ βασιλεύειν ἐπ᾽ αὐτούς· πολλῶν γὰρ ἐμφορηθῆναι
to-wish or to-reign over them of-many for to-have-been-filled
κακῶν ἐκ τοῦ πολιότριχος Ἀνδρονίκου, καὶ δι᾽ αὐτὸν
evils from the gray-haired Andronikos and because-of him
μισεῖν τε καὶ ἀποστρέφεσθαι πάντα σοροδαίμονα καὶ
to-hate both and to-turn-from every coffin-ripe and
πολυετῆ ἄνθρωπον, καὶ μάλιστα εἰ καθειμένον ἔχει τὸ
many-yeared man and especially if let-down he-has the
γένειον, διχῇ διῃρημένον καὶ μυουρίζον περὶ τὸ πέρας
beard in-two divided and tapering at the end
τοῦ πώγωνος. οὕτω τοίνυν ἐς βασιλέα χρισθέντος
of-the beard thus therefore as emperor having-been-anointed
Ἰσαακίου συνέβη καὶ ἕτερόν τι ἀξιαφήγητον. ἵππων
Isaac happened also another something worth-telling of-horses
γὰρ χρυσοφαλάρων βασιλικῶν ἐκ τῆς περαίας κατὰ τὸν
for gold-trapped imperial from the opposite-shore at the
πόρον τῶν Κιονίων διαπορθμευομένων εἷς τοὺς πόδας
passage — of-Kionia being-ferried one the feet
ἀναβαλὼν καὶ τυραννήσας τὸν ἱπποκόμον ἔθεε διὰ τῶν
having-thrown-up and having-overpowered the groom ran through the
λεωφόρων, καὶ συλληφθεὶς εἰσάγεται Ἰσαακίῳ πρὸς ὄχησιν.
highways and having-been-seized is-brought-to Isaac for riding
καὶ ὁ μὲν ἐκ τοῦ μεγίστου νεὼ ἀπαίρει, συνεπόμενον
and he indeed from the greatest temple departs following
ἔχων καὶ τὸν πατριάρχην Βασίλειον τὸν Καματηρόν, ἐπεὶ
having also the patriarch Basil the Kamateros since
καὶ τοῦτον τὸ πλῆθος συμπράττειν καὶ συνεπευδοκεῖν
also this(-one) the multitude to-act-with and to-approve-with
τοῖς τελουμένοις ἄκοντα ἐπεσπάσατο· ὁ δ᾽ Ἀνδρόνικος
the(-things) being-done unwilling drew — and Andronikos

κατὰ τὸ μέγα γεγονὼς ἀρχεῖον, ἐπεὶ ὁ συμμιγὴς θροῦς
at the great having-come palace when the mingled noise
ἐκέντει αὐτοῦ τὰ ὦτα, μετὰ βραχὺ δὲ καὶ τὴν ὄψιν
pricked his the ears after (a)-little and also the sight
τῶν γινομένων εἶχε διδάσκαλον, ἐπέβαλε μὲν τῇ
of-the(-things) happening he-had (as)-teacher undertook indeed the
ἀντιμαχήσει τοῦ πλήθους καὶ τοὺς συνόντας συνεκρότει
resisting of-the multitude and the(-ones) with(-him) urged
πρὸς πόλεμον, εὑρίσκων δὲ βραχεῖς ἐκ τούτων ἑτοιμοπειθεῖς
for war finding and few of these ready-to-obey
πρὸς τὸ ἐκείνου σκέμμα καὶ σύνθημα, ηὐτούργει
for the his plan and signal performed-with-his-own-hand
καὶ αὐτὸς ἐν τῷ μέρει τὸν πόλεμον, τόξον δοὺς τῇ
also himself in the part the war (a)-bow having-given to-the
χειρί, κἀκ τῶν τοῦ μεγίστου πύργου διασφάγων, ὃς
hand and-from the of-the greatest tower loopholes which
κικλήσκεται Κεντηνάριον, ἀφιεὶς τοῖς ἐπιοῦσι βέλεμνα.
is-called Kentenarion letting-fly on-the(-ones) approaching missiles
γνοὺς δὲ ὡς μάτην ἀνηνύτοις ἐπιχειρεῖ, διά
having-perceived and that in-vain at-unaccomplishable(-things) he-tries through
τινος ὁμιλεῖν προάγεται τοῖς λαοῖς, ἀποτίθεσθαι λέγων
someone to-converse is-led to-the peoples to-lay-down saying
τὴν βασιλείαν καὶ παραπέμπειν ταύτην πρὸς τὸν ἐκείνου
the empire and to-hand-over it to the his
παῖδα τὸν Μανουήλ, πεποιθὼς ἐντεῦθεν καταστεῖλαι τὸν
child — Manuel trusting hence to-restrain the
θόρυβον καὶ τὸν ἐπ᾽ ἀκμῆς καὶ παρὰ βραχὺ κίνδυνον
uproar and the at (its)-height and by little danger
ἀποκρούσασθαι. οἱ δὲ πλειόνως ἐπὶ τῷ ῥήματι τούτῳ
to-repel they and more at the word this
ἐκτραχυνθέντες ὕβρεσιν αὐτὸν ἁπάσαις ἀπαισίοις ἔπλυνον,
exasperated with-insults him all ill-omened washed

καὶ ὃν ἔφασκε τῆς βασιλείας καταλιπεῖν κληρονόμον.
and whom he-said of-the empire to-leave (as)-heir
ἐπεὶ δὲ τὸ πλῆθος ἦν εἰσχυθὲν ἔσωθεν τῶν ἀνακτόρων,
when and the multitude was poured-in inside the palace
ἀνατραπείσης τῆς πύλης ἥτις Καρέα λέγεται, τρέπεται
overturned the gate which Karea is-called turns
πρὸς φυγὴν Ἀνδρόνικος, καὶ τὸ φοινικοβαφὲς πέδιλον τοῦ
to flight Andronikos and the purple-dyed sandal from-the
ποδὸς ἀφελιξάμενος, καὶ τὸ ἀρχαῖον αὐτῷ περιφύλαγμα
foot having-unwound and the ancient for-him amulet
τὸν σταυρὸν ὁ θεοβλαβὴς ἀποτραχηλισάμενος ἐκεῖ
the cross the God-blasted(-man) having-taken-off-his-neck there
που, καὶ πῖλον βαρβαρικὸν τῇ κεφαλῇ περιθέμενος, ὃς
somewhere and (a)-cap barbarian on-the head having-put-on which
ἐς ὀξὺ λήγων πυραμίδι εἴκασται, τὴν βασιλικὴν
to (a)-sharp(-point) ending to-(a)-pyramid is-likened the imperial
εἴσεισιν αὖθις τριήρη, δι' ἧς ἐκ τοῦ Μηλουδίου πρὸς
enters again trireme through which from — Meloudion to
τὸ μέγα παλάτιον ἐσαφίκετο. καὶ γενόμενος αὖθις κατὰ τὸ
the great palace he-had-arrived and having-become again at the
αὐτὸ κατάντημα, καὶ δύο ἐκ τῶν γυναικῶν προσλαβόμενος,
same landing and two of the women having-taken-along
Ἄνναν τὴν ἁρμοσθεῖσαν Ἀλεξίῳ τῷ βασιλεῖ, ἐκείνου
Anna the(-one) betrothed to-Alexios the emperor him
δὲ ἐξ ἀνθρώπων γενομένου ᾧ εἴρηται θανάτῳ
and from men having-become(-gone) by-what has-been-said death
γαμηθεῖσαν Ἀνδρονίκῳ, καὶ τὴν ἑταιρίδα Μαραπτικήν,
married to-Andronikos and the courtesan Maraptike
ἧς ἐνεθουσία τῷ ἔρωτι καὶ προσπαθῶς εἶχεν
of-whom was-frenzied with-the love and passionately had
Ἀνδρόνικος ὡς οὐδὲ πάλαι τῆς Λαμίας ὁ πολιορκητὴς
Andronikos as not-even of-old — of-Lamia the besieger

Δημήτριος, ἣν Πτολεμαῖον καταγωνισάμενος ἐν Κύπρῳ
Demetrios whom Ptolemy having-defeated in Cyprus
ἔλαβε δορυάλωτον αὐλοῦσαν οὐκ εὐκαταφρονήτως, ἤλαυνε
he-took spear-won playing-the-flute not contemptibly he-drove
κατὰ κράτος ἣν προέθετο. ᾑρετίσατο δὲ τὴν ἐπὶ τοὺς
by force which he-proposed he-chose and the(-road) to the
Ταυροσκύθας, πᾶσαν ἐπαρχίαν Ῥωμαϊκὴν καὶ τοπαρχίαν
Tauroscythians every province Roman and toparchy
ἄλλην ἐθνικὴν ὡς ἐπίβουλον ἀθετήσας.
other gentile as treacherous having-rejected

XII · THE DEATH OF ANDRONIKOS

The mob plunders the palace, its treasure, and its holy relics. Andronikos, fleeing toward the Scythians, is driven back by the sea at Chele and seized; he sings dirges with the women, in vain. Before Isaac he is beaten, his beard plucked, his teeth pulled, and his right hand cut off; later an eye is gouged out and he is paraded on a mangy camel. The rabble pelt him with filth, stab him, scald him, and hang him by the feet in the Hippodrome, where he says nothing but "Lord, have mercy" and "Why do you break further a bruised reed?" until some Latins test their swords on him and he dies.

Καὶ τοῦτον μὲν τὸν τρόπον Ἀνδρόνικος τῆς Ῥωμαϊκῆς
and this indeed the manner Andronikos from-the Roman
ἀρχῆς ἀπεσφαίριστο, Ἰσαάκιος δὲ τῶν ἀρχείων εἴσω
rule had-been-bowled-out Isaac and the palace inside
παρελθὼν καὶ βασιλεὺς αὐτοκράτωρ Ῥωμαίων ὑπὸ τῶν
having-gone and emperor autocrat of-(the)-Romans by the
συνεληλυθότων ὄχλων αὖθις ἀναρρηθεὶς στέλλει τοὺς
having-assembled crowds again proclaimed sends the(-men)
ὀπίσω Ἀνδρονίκου καταδιώξοντας. τὸ δὲ τοῦ δήμου πολύ,
after Andronikos going-to-pursue the and of-the people much

ἐπειδὴ τὰ ἀνάκτορα ἄνετα ἐγεγόνεισαν καὶ οὐδεὶς ἦν
since the palace open had-become and nobody was
ὁ κωλύσων αὐτοὺς ἢ ἀπάξων τοῦ δρᾶν οἷα
the(-one) going-to-hinder them or going-to-lead-away from-the doing such-as
καὶ ὅσα βούλοιντο, διαρπάζουσιν οὐ μόνον ὁπόσα
and as-many-as they-wished plunder not only as-much-as
χρήματα εὕραντο παρὰ τοῖς Χρυσιοπλυσίοις ἐπιταμιευόμενα
money they-found in — Chrysioplysia stored
(ἦσαν δὲ ἄνευ τῶν μὴ κεκομμένων εἰς νόμισμα ὑλῶν
were and without the not struck into coin materials
χρυσίου κεντηνάρια δώδεκα, ἀργυρίου τριάκοντα καὶ τοῦ
of-gold centenaria twelve of-silver thirty and of-the
ἐκ χαλκοῦ κόμματος διακόσια) ἀλλὰ καὶ πᾶν ἕτερον
from bronze coinage two-hundred but also every other(-thing)
ὅπερ εἶχον αἱ χεῖρες ἑνός τινος μεταφέρειν ῥᾳδίως ἢ
which could the hands of-one some(-man) to-carry easily or
καὶ πολλῶν συνερχομένων ὁμοῦ. ὅπλων δὲ μετήνεγκαν
also of-many coming-together together of-arms and they-carried-off
μυριάδας, τὰς ὁπλοθήκας εἰσιόντες. προέβη δὲ τὰ
myriads the armories entering advanced and the(-things)
τῆς ἁρπαγῆς καὶ εἰς τοὺς ἔνδον τῶν βασιλείων νεώς,
of-the plunder also to the inside of-the palace temples
ὥστε καὶ κόσμους ἀπορραγῆναι ἁγίων εἰκασιῶν καὶ
so-that also adornments to-be-torn-off from-holy images and
αὐτὸ δὲ τὸ ἱερώτατον κλοποφορηθῆναι σκεῦος, οὗ
itself too the most-holy to-be-stolen vessel of-which
ἔνδοθεν φήμη ἄνωθεν διαρρέει καὶ ἐς ἡμᾶς καταβαίνουσα
inside (a)-report from-above flows-through and to us coming-down
τὸ τοῦ κυρίου ἐπιστόλιον συνεπτύχθαι, ὅπερ οἰκείαις
the of-the Lord little-letter to-have-been-folded which with-own
αὐτὸς χερσὶν ἐξέθετο πρὸς τὸν Αὔγαρον. ἡμέρας οὖν
himself with-hands set-out to — Augaros days then

συχνὰς τῷ μεγάλῳ παλατίῳ ἐνδιατρίψας ὁ βασιλεὺς
many in-the great palace having-spent the emperor
Ἰσαάκιος πρὸς τὸ ἐν Βλαχέρναις ἀρχεῖον μεθίσταται,
Isaac to the at Blachernai palace moves
ἔνθα καὶ οἱ ἀγγέλλοντες ἐληλύθεσαν ἁλῶναι
where also the(-ones) reporting had-come to-have-been-taken
Ἀνδρόνικον. ἦν δὲ ὁ τρόπος τῆς αὐτοῦ συλλήψεως
Andronikos was and the manner of-the his seizure
οὑτοσί. ἀποδιδράσκων ἀφικνεῖται εἰς Χηλήν, ὀλίγους
this fleeing he-arrives at Chele few
τῶν πρὸ τῆς βασιλείας ὑπηρετῶν συνεπομένους ἔχων
of-the before the empire servants following having
ἐκείνῳ, καὶ τὰς δύο γυναῖκας ἐπαγόμενος. ἰδόντες οὖν
with-him and the two women bringing having-seen then
αὐτὸν οἱ ἐκεῖσε μηδὲν τεκμήριον περικείμενον τῶν
him the(-men) there no token wearing of-the
κρατούντων, ἀλλ᾽ ὡς φυγάδα τὴν ἐπὶ τοὺς Ταυροσκύθας
rulers but as (a)-fugitive the to the Tauroscythians
διαπλώϊσιν ἐπισπέρχοντα καὶ φεύγοντα μηδενὸς διώκοντος,
voyage hastening and fleeing nobody pursuing
συλλαβεῖν μὲν οὔτε ἐθάρρησαν οὔτε ὁπωσοῦν ἐδικαίωσαν
to-seize indeed neither dared nor at-all deemed-right
(τὸν γὰρ θῆρα καὶ γυμνὸν ὄντα τῶν ἀμυντηρίων οὐδὲν
the for beast even naked being of-the defenses no
ἔλαττον ἐδεδίεσαν, καὶ πρὸς μόνην τὴν ἐκείνου θέαν
less they-feared and at only the his sight
κατέπτησσον), νῆα δὲ ἡτοιμάσαντο, καὶ Ἀνδρόνικος
cowered (a)-ship and they-prepared and Andronikos
μετὰ τῶν ὑπ᾽ αὐτὸν ἐμβέβηκεν εἰς αὐτήν. ὥσπερ
with the(-ones) under him embarked into it as-if
δὲ καὶ θαλάσσης ἀγανακτούσης κατ᾽ Ἀνδρονίκου, ὅτι
and also (the)-sea being-indignant against Andronikos because

σώμασιν ἀθώοις τοὺς αὐτῆς κόλπους πολλάκις ἔχρανεν,
with-bodies guiltless the its bosoms often he-had-defiled
ὀρθόν τε τὸ κῦμα ἵστατο καὶ εἰς χάσμα διίστατο καὶ
upright both the wave stood and into (a)-chasm parted and
καταπιεῖν αὐτὸν διανίστατο, καὶ πρὸς χέρσον ἡ ναῦς
to-swallow him rose-up and to (the)-dry-land the ship
ἐξεβράσσετο. καὶ τοῦτο πολλάκις γενόμενον ἐκώλυσε
was-cast-up and this often happening hindered
τὴν Ἀνδρονίκου περαίωσιν, ἕως οἱ καταληψόμενοι
the of-Andronikos crossing until the(-ones) going-to-seize(-him)
ἐπέστησαν. οὕτω τοίνυν ὁ τάλας Ἀνδρόνικος συσχεθεὶς
arrived thus therefore the wretched Andronikos seized
ἀκατίῳ παραρριπτεῖται μετὰ τῶν γυναικῶν δέσμιος. ἀλλ᾽
into-(a)-skiff is-thrown with the women bound but
ἦν κἀν τῷ τότε καιρῷ Ἀνδρόνικος ὁ πολύμητις ἐκεῖνος
he-was even-in the then time Andronikos the much-devising that
καὶ περίφρων Ἀνδρόνικος. συνιδὼν γὰρ ὡς πόδες οὐκ
and very-wise Andronikos having-perceived for that feet not
εἰσίν, ὡς χεῖρες οὐκ εἰσίν, οὐδὲ πάρεστι ξίφος εἰς τὸ
are that hands not are nor is-present (a)-sword for the
δρᾶσαί τι γενναῖον καὶ διαδρᾶσαι τοὺς συλλαβόντας,
to-do anything noble and to-escape the(-ones) having-seized(-him)
ὑποκρίνεται τραγῳδίαν δεξιοστροφήσας τὸ τρίχορδον
he-acts (a)-tragedy having-turned-deftly the three-stringed(-lyre)
τῆς φθογγῆς, καὶ θρηνῶδες ᾄδειν τι μέλος καὶ περιπαθὲς
of-the voice and dirge-like to-sing some song and pathetic
ἀναβάλλεται, τὰς παλαιὰς πειθανάγκας ἀνατινάσσων καὶ
strikes-up the old persuasions-by-force shaking-up and
περιτρέχων ὡς δεξιὸς μουσηγέτης εὐήχου ὀργάνου
running-over as (a)-skillful leader-of-the-Muses of-(a)-sweet-sounding instrument
χορδάς, καὶ καταλέγει μελεάζων ὡς ἀηδόνες τὸ γένος ὡς
strings and recounts singing-plaintively like nightingales the race that

ὑψηλόν, τὸ εὐγενὲς ὡς ὑπὲρ τοὺς πολλούς, τὴν προτέραν
lofty the noble-birth that above the many the former
τύχην ὡς εὐτυχῆ, τὸν πάλαι βίοτον, κἂν πλάνης ἦν καὶ
fortune that fortunate the former life even-if (a)-wanderer he-was and
ἀνέστιος, μηδαμῶς ἀβίωτον, καὶ τὴν τότε κατασχοῦσαν
homeless in-no-way unlivable and the then having-seized
αὐτὸν συμφορὰν ὡς λίαν οὖσαν οἰκτράν. ἀνταδούσας δ'
him misfortune that very being pitiable singing-in-answer and
εἶχε καὶ τὸ μέλος γοερώτερον διασκευαζούσας οἷα σοφὰς
he-had also the song more-mournful making as wise
τὰς γυναῖκας· καὶ ὁ μὲν ἦρχε τῶν θρηνῳδημάτων, αἱ
the women and he indeed began the dirges they
δὲ ἀντῇδον αὐτῷ συννυπακούουσαι καὶ συμψάλλουσαι.
and sang-in-answer to-him responding and singing-with
ἀλλ' ἦν ταῦτα πάντα μάτην μετιὼν καὶ διακενῆς
but he-was these(-things) all in-vain pursuing and to-no-purpose
τεχνώμενος ὁ βαθύνους καὶ πολύτροπος Ἀνδρόνικος· ἃ
contriving the deep-minded and versatile Andronikos what
γὰρ ἀνόσια διεπράξατο ἔργα, ταῦτα ὡσεὶ κηρὸς τὰς
for unholy he-did deeds these as wax the
τῶν κατεχόντων αὐτὸν ἐπέβυσεν ἀκοάς, καὶ οὐδεὶς
of-the(-ones) holding him stopped-up ears and no
οὐδένα οἶκτος εἰσῄει, οὐδ' ἐνήχησις ἦν ὧν κατὰ Σειρῆνας
anyone pity entered nor echo was of-what like Sirens
ἐμελῴδει γυναικωδῶς εἴτ' οὖν ὑπούλως καὶ δολερῶς εἰπεῖν
he-sang womanishly or then deceitfully and craftily to-say
οἰκειότερον, καὶ τὸ μῶλυ τὸν Ἑρμῆν ἐπιλέλοιπε τοῦ θείου
more-properly and the moly — Hermes has-failed the divine
μηνίσαντος. εἶχε τοίνυν τοῦτον ἡ τοῦ Ἀνεμᾶ λεγομένη
having-been-wroth held therefore him the — of-Anemas called
φρουρά, δυσὶ παχείαις ἁλύσεσι τὸν ὑψιτενῆ βαρούμενον
prison with-two thick chains the high-stretched weighed-down

τράχηλον, ὑφ' ὧν οἱ ἐν δεσμωτηρίοις σιτούμενοι
neck by which the(-ones) in jails fed
λέοντες μετὰ σιδηρέων κλοιῶν συνέχονται, καὶ πέδαις
lions with iron collars are-held and with-fetters
τοὺς πόδας κακούμενον. ἐμφανισθεὶς δὲ οὕτως ἔχων
the feet maltreated having-appeared and thus being
καὶ παραστὰς Ἰσαακίῳ τῷ βασιλεῖ ὕβρεσι βάλλεται,
and having-stood-beside Isaac the emperor with-insults he-is-pelted
κατὰ κόρρης ῥαπίζεται, τοὺς γλουτοὺς ἐπικρούεται, τὴν
on (the)-temple he-is-slapped the buttocks he-is-beaten the
γένυν τίλλεται, τοὺς ὀδόντας ἐκριζοῦται, τὴν κεφαλὴν
beard he-is-plucked the teeth he-is-uprooted the head
ψιλοῦται τριχῶν, εἰς κοινὸν ἐκδίδοται παίγνιον πᾶσι
he-is-stripped of-hair into (a)-common he-is-given-out plaything by-all
τοῖς συνελθοῦσιν, ἐμπαροινεῖται καὶ ὑπὸ γυναικῶν καὶ
the(-ones) having-gathered he-is-abused and by women and
τύπτεται πυγμαῖς κατὰ στόματος, καὶ τούτων ὁπόσαι
he-is-struck with-fists on (the)-mouth and of-these as-many-as
μάλιστα ἢ θανάτῳ ὑπ' Ἀνδρονίκου ἀπεβάλοντο τοὺς
especially either to-death by Andronikos had-lost the
συνεύνους ἢ τοὺς ὀφθαλμοὺς ἀπεσβεσμένους ἀπέλαβον.
husbands or the eyes put-out had-received(-them)
ἔπειτα τὴν δεξιὰν χεῖρα πελέκει ἀποκοπεὶς παραρριπτεῖται
then the right hand by-(an)-axe cut-off he-is-thrown
αὖθις τῇ αὐτῇ φυλακῇ, ἄσιτος, ἄποτος, ὑπ' οὐδενὸς
again into-the same prison foodless drinkless by nobody
μεταλαγχάνων τῆς οἱασοῦν κομιδῆς. μεθ' ἡμέρας δέ
sharing of-the any-whatever care after days and
τινας καὶ τὸν ἕτερον τῶν ὀφθαλμῶν ἐξορύττεται,
some also the other of-the eyes he-is-dug-out
καὶ καθεσθεὶς ἐπὶ καμήλου ψωριώσης διὰ τῆς ἀγορᾶς
and set on (a)-camel mangy through the market

θριαμβεύεται, κατὰ γεράνδρυον ἄφυλλον ᾠοῦ ψιλότερον
he-is-paraded like (an)-old-tree leafless than-(an)-egg barer
ἀκαλυφές τε παντάπασι κρανίον προφαίνων, καὶ βραχεῖ
uncovered both wholly (his)-skull showing and with-(a)-short
ῥακίῳ τὸ σῶμα σκεπόμενος, θέαμα ἐλεεινὸν καὶ πηγὰς
rag the body covered (a)-sight pitiable and springs
ἕλκον δακρύων ἡμέροις ὄμμασιν. ἀλλ' οἱ εὐηθέστατοι
drawing of-tears from-gentle eyes but the most-simple
καὶ ἀπαιδευτότατοι τῆς Κωνσταντίνου οἰκήτορες,
and most-uneducated of-the(-city) of-Constantine inhabitants
καὶ τούτων οἱ ἀλλαντοπῶλαι πλέον καὶ βυρσοδέψαι,
and of-these the sausage-sellers more and tanners
καὶ ὅσοι τοῖς καπηλείοις διημερεύουσι κἀκ τῶν
and as-many-as in-the taverns pass-the-day and-from the
καττυμάτων ἀποζῶσι γλίσχρως καὶ ταῖς ῥαφίσι τὸν
cobblings live meanly and with-the needles the
ἄρτον στενῶς συλλέγουσι, κατ' ἔθνεα συναθροισθέντες
bread narrowly gather according-to tribes gathered
μυιῶν αἳ τοὺς γαυλοὺς ἀμφιπεριίπτανται ἔαρος καὶ
of-flies which the milk-pails fly-around in-spring and
περιχαίνουσι τὰ πιαλέα κισσύβια, μηδένα λόγον θέμενοι εἰ
gape-round the fat cups no account having-made if
βασιλεὺς οὗτος πρὸ τρίτης καὶ βασιλείῳ διαδήματι
emperor this(-man) before (the)-third(-day) and with-(the)-imperial diadem
περιδούμενος καὶ ὡς σωτὴρ ὑμνούμενος ὑπὸ πάντων
bound and as savior hymned by all
ἀνευφημούμενός τε καὶ προσκυνούμενος, καὶ ὡς φρικώδεσιν
acclaimed both and worshiped and how with-awful
ὅρκοις τὴν ἐς αὐτὸν ἐνεπέδωσαν πίστιν καὶ εὔνοιαν,
oaths the toward him they-confirmed faith and goodwill
ἀλόγῳ δὲ θυμῷ καὶ παραλογωτέρῳ νοΐ φερόμενοι
with-unreasoning and wrath and more-unreasonable mind borne

οὐδέν τι τῶν κακῶν ἐνέλιπον ὃ μὴ εἰς Ἀνδρόνικον
nothing at-all of-the evils left which not to Andronikos
ἀνοσίως εἰργάσαντο. οἱ μὲν γὰρ κατὰ κεφαλῆς κορύναις
unholily they-did some indeed for on (the)-head with-clubs
αὐτὸν ἔπληττον, οἱ δὲ βολβίτοις τὰς ἐκείνου ῥῖνας
him struck others and with-cow-dung the his nostrils
ἐμόλυνον, ἄλλοι διὰ σπόγγων λύματα γαστέρων βοείων
befouled others through sponges filth of-bellies of-oxen
καὶ ἀνθρωπείων τῶν ὄψεων ἐκείνου κατέχεον. ἕτεροι
and of-men on-the eyes his poured others
αἰσχρορρημονοῦντες ἐκακολόγουν ἐς τὴν μητέρα καὶ τὸν
speaking-foully reviled to the mother and the
λοιπὸν τῶν τοκέων. ἦσαν οἳ καὶ ὀβελίσκοις ἔπειραν
rest of-the parents there-were (those)-who also with-spits pierced
αὐτοῦ τὰς πλευράς. οἱ δ' ἀναιδέστεροι λιθολευστοῦντες
his the ribs the and more-shameless stoning
κύνα ὠνόμαζον λυσσητῆρα. μία δέ τις πορνικὴ γυνὴ καὶ
(a)-dog called(-him) rabid one and some whorish woman and
ἀκόλαστος κεράμιον θερμοῦ ὕδατος πλῆρες ἁρπασαμένη
licentious (a)-pot of-hot water full having-snatched
ἐξ ὀπτανείου τῶν ἐκείνου κατεκένωσε παρειῶν. καὶ
from (a)-kitchen on-the his emptied cheeks and
οὐδεὶς ἦν ὃς οὐκ ἦν ἐπ' Ἀνδρονίκῳ κακοποιός. καὶ
nobody was who not was against Andronikos (an)-evil-doer and
οὕτως ἀτίμως ἐπὶ τὸ θέατρον ἀπαχθεὶς μετὰ γελοιώδους
thus dishonorably to the theater led-off with laughable
θριάμβου καὶ τοῦ οἰκτροῦ ἐκείνου καὶ παιζομένου ἐπὶ
triumph and of-the pitiable that and mocked on
καμήλου ὑψώματος, ὅπερ ἄνωθεν κατέβη αὐτόχρημα, ἐκ
(a)-camel height which from-above came-down at-once from
ποδῶν ἀναρτᾶται, τινῶν ἀναψάντων ἐκ φελλύρας καλώδιον
(the)-feet he-is-hung some having-fastened of cork-wood (a)-rope

κατὰ τοὺς περὶ τὰς ἐπικλινεῖς τὸν τράχηλον ἐκ χαλκοῦ
by the about the inclined the neck of bronze
πεποιημένας λύκαιναν καὶ ὕαιναν ἀλλήλαις ἀντιβλεπούσας
made she-wolf and hyena one-another looking-at
καὶ πρὸς ὀργὴν ἠγριωμένας ἱσταμένους δύο στυλίσκους
and to wrath made-savage standing two little-pillars
καὶ λίθον ἐπικείμενον ἔχοντας. τοσαῦτα δὲ πεπονθώς, καὶ
and (a)-stone lying-on having so-many and having-suffered and
μυρία ἕτερα ὑποστὰς ὅσα ὁ λόγος παρέδραμεν,
countless other(-things) having-undergone as-many-as the account ran-past
ὅμως ἀντεῖχεν ἔτι γενναίως πρὸς τὰς ἐπιφορὰς τῶν
nevertheless held-out still nobly against the onsets of-the
δεινῶν, ἐρρωμένος ὢν τὸ φρονεῖν. πρὸς δὲ τοὺς
terrible(-things) strong being in-the mind to and the(-ones)
ἐπεισχεομένους καὶ βάλλοντας ἐπιστρεφόμενος ἄλλο μὲν
pouring-on and pelting turning other indeed
οὐδὲν ἐφθέγγετο εἰ μὴ τὸ „κύριε ἐλέησον" καὶ „ἵνα τί
nothing he-uttered if not the Lord have-mercy and that what
κάλαμον συντετριμμένον προσεπικλᾶτε;" ἀλλ' οὐδὲ μετὰ
(a)-reed bruised do-you-break-further but not-even after
τὴν ἐκ ποδῶν ἀπαιώρησιν οἱ ἀνούστατοι ὄχλοι τοῦ
the from (the)-feet hanging the most-senseless crowds from-the
πολυπαθοῦς ἀπέσχοντο Ἀνδρονίκου ἢ φειδὼ τῶν ἐκείνου
much-suffering abstained Andronikos or sparing of-the his
σαρκῶν ἔλαβον, ἀλλὰ περιελόντες τὸ χιτώνιον κακῶς
flesh took but having-stripped the little-tunic badly
ἐτίθουν τὰ παιδογόνα μόρια. ἀνόσιος δέ τις καὶ διὰ
they-treated the child-begetting parts unholy and someone also through
τοῦ φάρυγγος εἰς τὰ ἔγκατα ἐπίμηκες ξίφος ἔβαψε. τινὲς
the throat into the entrails (a)-long sword dipped some
δὲ τῶν ἐκ τοῦ Λατινικοῦ γένους καὶ κατὰ τῆς ἐξέδρας
and of-the(-men) from the Latin race also against the seat

ἀκινάκην ἀμφοτέραις ἐπήρεισαν, καὶ περιστάντες κατέφερον
(a)-dagger with-both(-hands) thrust and standing-around brought-down
τὰ ξίφη, ὁποῖόν ἐστι τμητικώτερον ἀποπειρώμενοι, καὶ
the swords which is more-cutting testing and
τῇ τῆς χειρὸς κατακομπάζοντες δεξιότητι διὰ τὸ
in-the of-the hand boasting dexterity because-of the
ἀξιόλογον τῆς πληγῆς. καὶ μετὰ τοσαῦτα μογήματα καὶ
remarkable(-ness) of-the blow and after so-many toils and
παθήματα μόλις ἀπέρρηξε τὴν ζωήν, τὴν δεξιὰν χεῖρα μετ'
sufferings barely broke-off the life the right hand with
ὀδύνης ἐκτείνας καὶ περιαγαγὼν οὕτω τῷ στόματι,
pain having-stretched-out and having-brought-round thus to-the mouth
ὥστε καὶ τοῖς πολλοῖς ἔδοξεν ἐκμυζᾶν τοῦ ἐκ ταύτης ἔτι
so-that also to-the many he-seemed to-suck-out of-the from it still
θερμοῦ ἀποστάζοντος αἵματος διὰ τὸ νεαρὸν τῆς τομῆς.
warm dripping blood because-of the freshness of-the cut

XIII · ANDRONIKOS' CHARACTER

Andronikos reigned two years, after a year as master of affairs without robe or diadem; he was tall, handsome, and healthy into old age, a moderate eater who scorned medicine and laughed at the oracle that gave him four months. He once pointed out to Manuel the columns from which he would hang. His body is thrown into a vault, later buried near the Ephoros monastery, for Isaac denies him his tomb at the Forty Martyrs. He loved Paul's letters, and the icon of Paul wept before his fall. Had he been less cruel, he would have been not the least of the Komnenian emperors. Verses foretold his end, and Oinaion, the place full of drink, was where he set out from.

Ἦρξε δ' ἐνιαυτοὺς δύο, καὶ ἕνα τῶν πραγμάτων κύριος
he-ruled and years two and one of-the affairs lord
ἐγεγόνει τηβέννης ἄνευ καὶ ἀρχικοῦ διαδήματος. ἦν δὲ
he-had-become (the)-toga without and imperial diadem he-was and

τὴν τοῦ σώματος φυὴν εὐφυής, ἀγητὸς τὸ εἶδος, ὄρθιος
in-the of-the body growth well-grown admirable in-the form upright
ἀναβαίνων, τὴν ἡλικίαν ἡρωϊκός, κἀν τῷ βαθεῖ γήρᾳ
rising in-the stature heroic even-in the deep old-age
τὴν ὄψιν νεοειδής, ὑγιεινότατός τε ἀνθρώπων, ὅτι μηδ'
in-the look young-looking most-healthy both of-men because not-even
ὀψοφάγος περισσὸν ἦν καὶ ἀκρατῶς ἔχων κοιλίας ὡς
(a)-glutton excessively he-was and incontinently holding of-belly as
ζωροπότης καὶ τένθης, ἀλλὰ κατὰ τοὺς Ὁμηρικοὺς
(a)-drinker-of-neat-wine and gourmand but like the Homeric
ἥρωας μάλιστα τοῖς ὀπτοῖς προσέκειτο τῷ πυρί,
heroes most to-the(-meats) roasted he-was-attached in-the fire
ὅθεν οὐδ' ἐρυγγάνοντά τις αὐτὸν ἐθεάσατο. ἀλλ' εἴ ποτε
whence not-even belching anyone him saw but if ever
πλημμελῶς εἶχε στομάχου, πανημερίῳ μόγῳ τε καὶ νηστείᾳ
badly he-was of-stomach by-all-day toil both and fasting
καὶ τὸ βραχέως ἐνοχλοῦν ἀπεκρούετο, ψωμῷ ἄρτου
also the(-thing) slightly troubling he-repelled with-(a)-morsel of-bread
καὶ οἴνου κεράσματι κλινούσης τῆς ἡμέρας ἐπιμετρῶν τὴν
and of-wine with-(a)-mixing declining the day measuring-out the
θεραπείαν τοῦ σώματος. οὐκοῦν οὐδ' ἀντιδότῳ ἐχρήσατο
care of-the body therefore not-even (an)-antidote he-used
πώποτε εἰ μὴ ἅπαξ ἐν τῇ βασιλείᾳ, καὶ τότε τῶν ἰατρῶν
ever if not once in the empire and then the physicians
εἰς τοῦτο ἐποτρυνάντων ἄκοντα, φαμένων, εἰ καὶ μὴ δι'
to this having-urged unwilling saying if even not because-of
ἐνσκήψασαν καχέκτησιν, ἀλλ' οὖν προφυλακῆς χάριν τὸ
having-fallen-upon bad-condition but then of-precaution for-the-sake the
ἀνύσιμον χρεὼν προσενέγκασθαι φάρμακον. πιὼν
effective (it-is)-needful to-take drug having-drunk
τοίνυν τὸ καθάρσιον βράδιον καὶ περὶ δύνοντα ἥλιον
therefore the purgative later and about setting sun

ἀπεκένωσέ τι τοῦ ἐν φλεψὶ περιττώματος, ὥστε καὶ πρὸς
he-voided some of-the in veins residue so-that also to
τοὺς φάσκοντας τῶν ἑταίρων ἐπ᾽ ἐκείνῳ οἴεσθαι πάντας τὸ
the(-ones) saying of-the companions at that to-think all the
παλαίφατον λελέχθαι τοῦτο χρησμῴδημα „δρεπανηφόρε,
ancient to-have-been-spoken this oracle sickle-bearer
τετράμηνόν σε μένει,” ἐπιμειδιῶν ἔλεγε διαψεύδεσθαι
four-month you awaits smiling he-said to-be-false
προδήλως· αὐτὸς γὰρ καὶ ἐνιαυτὸν ὅλον νοσηλείᾳ παντοίᾳ
plainly himself for even (a)-year whole with-sickness of-every-kind
τοῦ σώματος διαρκέσειεν ἂν προσπαλαίων, τῷ ῥωμαλέῳ
of-the body would-hold-out — wrestling with-the strength
πεποιθὼς τοῦ σώματος, καὶ φανταζόμενος, ὡς ἔοικεν,
trusting of-the body and imagining as it-seems
ὡς μαλακῷ θανάτῳ δαμήσεται καὶ εἰρηνικῷ τέλει
that by-(a)-soft death he-will-be-subdued and with-(a)-peaceful end
συμπερανεῖ τὴν ζωήν, τὴν δ᾽ ἐναντίαν τελευτὴν ἢ ἑκὼν
he-will-finish the life the and opposite end either willingly
ἀποπροσποιούμενος ἢ μὴ κατὰ νοῦν ὅλως βαλλόμενος.
disclaiming or not in mind at-all casting
καίτοι λόγος διαρρέων καὶ ἐς ἡμᾶς ἵκετο, ὡς ἵππων
although (a)-story flowing-through also to us came that of-horses
ἀγομένης ἁμίλλης ἐκτείνας τὴν χεῖρα Ἀνδρόνικος
being-held (a)-contest having-stretched-out the hand Andronikos
δακτύλῳ ὑπέδειξε τῷ ἐξαδέλφῳ καὶ βασιλεῖ Μανουὴλ
with-(a)-finger showed to-the cousin and emperor Manuel
τοὺς κίονας ὧν αὐτὸς μέσον ἀνήρτηται, εἰπὼν
the columns of-which himself (in-the)-middle has-been-hung having-said
ὡς ἐκεῖσε μέλλει ποτὲ βασιλεὺς Ῥωμαίων ἀπαιωρηθῆναι
that there is-about once (an)-emperor of-(the)-Romans to-be-hung
κακῶς παθὼν ὑπὸ τοῦ τῆς πολιτείας πληρώματος· τὸν
badly having-suffered by the of-the citizenry fullness him

δὲ πρὸς τὴν Ἀνδρονίκου διήγησιν ἀποκρίνασθαι ἀλλ᾽ αὐτὸς
and to the of-Andronikos narration to-have-answered but himself
τέως οὐκ ἐσεῖται ὁ τοῦτο πεισόμενος. καὶ τοιοῦτο
meanwhile not will-be the(-one) this going-to-suffer and such
μὲν τέλος θανάτου κατείληφε τὸν Ἀνδρόνικον, ἐξάπινα εἰς
indeed (an)-end of-death seized — Andronikos suddenly into
ἐρήμωσιν ὡσεὶ καὶ ἐνύπνιον ἐξεγειρομένου γεγενημένον, καὶ
desolation as-if also (a)-dream of-(one)-waking having-happened and
ἐν τῇ πόλει τὴν οἰκείαν ἐξουθενωμένον εἰκόνα, εἴτε τὸν
in the city the own despised image whether the
τοῦ προσώπου χαρακτῆρα βούλοιτό τις οὕτω νοεῖν
of-the face character should-wish anyone so to-understand
εἴτε τὰ ἐπὶ τῶν τοίχων καὶ σανίδων εἰκάσματα, ἐπεὶ
or the(-things) on the walls and panels likenesses since
καὶ ταῦτα ὁ πολὺς κατηχρειώκει λεὼς καὶ διεσκεδάκει
also these the great had-made-useless people and had-scattered
πρὸς γῆν καὶ ἐλέπτυνεν ὡς οὐδ᾽ οἱ περὶ
to (the)-ground and had-made-thin as not-even the(-ones) about
Μωσέα πρότερον ἀφορισθέντες τὸ χωνευθὲν ἐν μέθῃ
Moses before set-apart the cast in drunkenness
ταυρόκρανον. μεθ᾽ ἡμέρας δέ τινας καθαιρεθεὶς τοῦ
bull-head after days and some taken-down from-the
οἰκτροτάτου ἐκείνου ὑψώματος ὅσα καὶ πτῶμα θρέμματος
most-pitiable that height just-as also (the)-carcass of-(a)-beast
ἐν μιᾷ τῶν τῆς ἱπποδρομίας ἀψίδων παραρριπτεῖται.
in one of-the of-the hippodrome arches is-thrown-aside
ἐσύστερον δέ τινες μερίδα τῷ ἐλέῳ διδόντες καὶ μὴ
later and some share to-the mercy giving and not
πάντα τῷ θυμῷ χαριζόμενοι, ἐκεῖθεν τὸν Ἀνδρονίκου
all(-things) to-the wrath granting thence the of-Andronikos
νεκρὸν ἀνελόμενοι παρά τινι κατωτάτῳ τόπῳ ἔθεντο περί
corpse having-taken-up in some lowest place set(-it) about

που τὴν Ἐφόρου μονήν, ἣ κατὰ τὸ Ζεύξιππον ἵδρυται,
somewhere the of-Ephoros monastery which by — Zeuxippos is-founded
ὃ καὶ εἰσέτι μὴ πάντῃ διαλυθὲν τῆς ἁρμονίας τοῖς
which also still not wholly dissolved of-the joining to-the(-ones)
βουλομένοις ὀπτάνεται. ὁ γὰρ ἀμεμφής, ὡς ᾤετο, τὰ
wishing is-seen the for blameless as he-thought the
πάντα καὶ δίκαιος Ἰσαάκιος οὐ κατένευσε καθαιρεθῆναι
all(-things) and just Isaac not consented to-be-taken-down
καὶ ταφῇ παραδοθῆναι Ἀνδρόνικον, ἢ ἀπενεχθῆναι τὸν
and to-burial to-be-handed-over Andronikos or to-be-carried-off the
τούτου νεκρὸν εἰς τὸν τῶν ἁγίων τεσσαράκοντα νεών,
his corpse into the of-the holy forty temple
ὃν Ἀνδρόνικος πεποίηκε φιλοτίμως καὶ λαμπροῖς ἠγλάϊσε
which Andronikos made ambitiously and with-brilliant adorned
κόσμοις καὶ ἀναθήμασι περιττοῖς κατεκάλλυνε, καὶ ἐν ᾧ
adornments and with-offerings excessive beautified and in which
τὸν τοῦ σώματος χοῦν ἀποθησαυρίσαι προεμηθεύσατο.
the of-the body dust to-store-up he-had-provided
Ἐκλείπων δὲ ἦν τὴν ψυχὴν εἰς τὰς τοῦ θεοκήρυκος Παύλου
fainting and he-was in-the soul for the of-the God-herald Paul
ἐπιστολάς, καὶ συνεχῶς τοῦ ἐκ τούτων ἀποστάζοντος
letters and continually of-the from them dripping
ἐνεφορεῖτο μέλιτος, καὶ ἄριστα ἐπιστέλλων ἐκ τῆς αὐτῶν
he-was-filled honey and best writing-letters from the their
πειθανάγκης τὰ οἰκεῖα περιέβαλλεν ἐπιστόλια. ἀμέλει τοι
persuasion the own clothed little-letters indeed surely
καὶ ἀρχαίας χειρὸς εἰκόνα τοῦ πνευματορρήτορος Ταρσέως
also of-ancient hand (an)-image of-the Spirit-speaking Tarsian
κόσμῳ λαμπρύνας τῷ ἐκ χρυσοῦ ἀνέθηκε τῷ
with-adornment having-made-brilliant the of gold he-dedicated to-the
ῥηθέντι ναῷ· ἡ δὲ τῆς Ἀνδρονίκου καταστροφῆς ἐγγιζούσης

τῶν ὀφθαλμῶν ἀπεστάλαττε δάκρυον. τοῦτο δ' ἀκηκοὼς
from-the eyes dripped (a)-tear this and having-heard
Ἀνδρόνικος στέλλει τοὺς ἀκριβωσομένους τὰ τῆς
Andronikos sends the(-ones) going-to-ascertain the(-things) of-the
ἀκοῆς. ἦν δὲ μεθ' ἑτέρων εἰς τοῦτο ἐπιλεγεὶς καὶ ὁ
hearing was and with others for this chosen also —
Ἁγιοχριστοφορίτης Στέφανος, ὃς καὶ διὰ βαθμίδος ἀνελθὼν
Hagiochristophorites Stephen who also by (a)-step having-gone-up
(ἦν γὰρ ἡ εἰκὼν μετέωρος) ἀπέψησεν ὑφάσματι ἀκηράτῳ
was for the image aloft wiped with-(a)-cloth undefiled
τὰς τοῦ Παύλου κόρας. αἱ δὲ κατὰ τὰς διασμωμένας κρήνας
the — of-Paul pupils they and like the being-cleaned springs
ἔτι πλεῖον τὸ δάκρυον ἐξεκένουν. καὶ θαυμάσας ὃ
still more the tear poured-out and having-wondered-at what
ἑώρακεν Ἀνδρονίκῳ ἀπιὼν διηγήσατο. ὁ δὲ μέγ' ὀχθήσας
he-had-seen to-Andronikos going-away he-related he and greatly having-been-vexed
καὶ τὴν κάραν ἔνθεν καὶ ἔνθεν ταλαντεύσας ἐπέμυξε, καὶ
and the head this-way and that-way having-swayed groaned and
εἴρηκεν ἐπ' αὐτῷ ἄρα δακρύειν ἐοικέναι τὸν Παῦλον, καὶ
said over him then to-weep to-seem — Paul and
κακὸν αὐτῷ χείριστον προσημαίνειν τὸ ἀγγελλόμενον·
evil for-him worst to-foretell the(-thing) reported
φιλεῖν γὰρ ἐκθύμως τὸν Παῦλον καὶ τῶν αὐτοῦ ῥημάτων
to-love for passionately — Paul and of-the his words
ἄκρως ἐξέχεσθαι, καὶ ἀντιφιλεῖσθαι δήπουθεν ὑπὸ Παύλου.
extremely to-cling and to-be-loved-in-return surely by Paul
Ἵνα δὲ συνελὼν εἴπω τὸ πᾶν, εἰ τοῦ ἐντόνου
that and summing-up I-may-say the whole if from-the intensity
τῆς ἀπηνείας ὑπεχάλα Ἀνδρόνικος μηδ' εὐθὺς ἐπῆγε
of-the harshness had-relaxed Andronikos nor at-once applied
τὸν καυτῆρα καὶ τὴν τομήν, ἀεὶ ῥανίσιν αἱμάτων
the cautery and the cutting always with-drops of-bloods

συνδιαπλέκων καὶ διαχρώζων τὸ ἀρχικὸν ἀμπεχόνιον τῷ
interweaving and dyeing the imperial mantle in-the
ἀπαραίτητος εἶναι πρὸς κόλασιν, ὅπερ ἐκ τῶν ἐθνῶν
inexorable to-be for punishment which from the nations
οἷς προσέμιξεν ἀπεμάξατο πολυπλανέστατος ἀνθρώπων
with-whom he-mixed he-copied most-much-wandering of-men
γενόμενος, ἦν ἂν οὐκ ἐλάχιστος ἐν τοῖς ἐκ
having-become would-have-been — not least among the(-ones) from
Κομνηνῶν ἄρξασιν, ἵνα μὴ λέγω ὡς ἐν ἴσῃ τῇ στάθμῃ
(the)-Komnenoi having-ruled that not I-say as in equal the scale
καὶ πάντῃ ἰσόρροπος, ἐπειδή περ ἦν κἀκ τούτου
and wholly balanced since indeed it-was(-possible) also-from this(-man)
συλλέγειν ἀνθρώπινα ἄττα μέγιστα ἀγαθά· οὐ γὰρ πάντῃ
to-gather human some greatest goods not for wholly
ἀπηνθρώπιστο, ἀλλὰ κατὰ τὰ διφυῆ ἀναπλαττόμενα
he-had-become-inhuman but like the double-natured fashioned
μορφώματα θηριωδίας μετέχων καὶ βροτείῳ εἴδει ἐκέκαστο.
shapes of-beastliness partaking and in-mortal form he-excelled
Περὶ δ' Ἀνδρονίκου καὶ ἕτεροι τὸ μέλλον αὐτῷ
about and Andronikos also other the future for-him
προφοιβάζοντες ἰαμβεῖοι στίχοι βίβλοις ἐμφέρονται καὶ
foretelling iambic verses in-books are-carried and

στόμασι πολλῶν περιᾴδονται, σὺν ἄλλοις δὲ καὶ οὗτοί
in-mouths of-many are-sung-around with others and also these
εἰσιν.
are

αἴφνης δ' ἀναστὰς ἐκ τόπου πλήρους πότου
suddenly and having-risen from (a)-place full of-drinking
ἀνὴρ πελιδνός, ἀγέρωχος τὸν τρόπον,
(a)-man livid arrogant in-the manner
στυγνός, πολιός, ποικίλος χαμαιλέων,
gloomy gray-haired many-colored (a)-chameleon
ἐπεισπεσεῖται καὶ θερίσει καλάμην.
will-fall-upon and will-reap stubble
πλὴν ἀλλὰ καὐτὸς συνθερισθεὶς τῷ χρόνῳ
however but also-he reaped-with by-the time
ἐσύστερον τίσειεν ἀθλίας δίκας
later would-pay wretched penalties
ὧν περ κακῶς ἔπραξεν ἐν βίῳ τάλας·
for-what indeed badly he-did in life wretch
ὁ γὰρ φέρων μάχαιραν οὐ φύγῃ ξίφος.
the(-one) for bearing (a)-sword not may-escape (a)-sword

πλήρη δὲ πότου τόπον τὸ Οἴναιον ὑπεμφαίνουσιν,
full and of-drinking place — Oinaion they-hint
ὡς δηλοῖ καὶ τὸ τῆς χώρας προσώνυμον, ἐξ οὗ
as shows also the of-the place name from which
περ Ἀνδρόνικος ἀπάρας, ὡς ἤδη ἐρρέθη μοι, πρὸς
indeed Andronikos having-set-out as already was-said by-me to
Κωνσταντίνου πόλιν παρεγένετο.
of-Constantine city came
